This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

G259

WIDENER LIBRARY

HX PP5P 1

G 259



HARVARD
COLLEGE
LIBRARY

H. W. Haynes.

A. W. Haynes.

POETAE GRAECI

GNOMICI.

AD

OPTIMORUM LIBRORUM FIDEM

ACCURATE EDITI.

EDITIO STEREOTYPA.

LIPSIAE

SUMTIBUS ET TYPIS CAROLI TAUCHNITII

1829.

Ladenpreis 4 Groschen

„ὅττι κακὸν φίλον ἐστί· τὸ δ' οὐ καλὸν οὐ φίλον ἐστί. "
τοῦτ' ἔπος ἀθανάτων ἦλθε διὰ στομάτων.

Κύρνε, σοφιζομένῳ μὲν ἐμοὶ σφρηγὶς ἐπικείσθω
τοῖσδ' ἔπεσι· λήσει δ' οὔ ποτε κλεπτομένη.
οὐδέ τις ἀλλάξει κάκιον τοῦ σθλοῦ παρεόντος.
ὧδε δὲ πῶς τις ἐρεῖ· Θεύγνιδός ἐστιν ἔπη
τοῦ Μεγαρέως, πάντας δὲ κατ' ἀνθρώπους ὀνομαστοῖ·
ἀστοῖσιν δ' οὔ πω πᾶσιν ἀδεῖν δύναμαι.
οὐδὲν θαυμαστόν, Πολυπαΐδη. οὐδὲ γὰρ ὁ Ζεὺς
οὔθ' ὕων πάντεσσ' ἀνδάνει, οὔτ' ἀνέχων.
Σοὶ δ' ἐγὼ εὖ φρονέων ὑποθήσομαι, οἷά περ αὐτός,
Κύρν', ἀπὸ τῶν ἀγαθῶν, παῖς ἔτ' ἐών, ἔμαθον.

Πέπνυσο, μηδ' αἰσχροῖσιν ἐπ' ἔργμασι, μηδ' ἀδίκοισιν
τιμάς, μηδ' ἀρετὰς ἕλκεο, μηδ' ἄφενος.
Ταῦτα μὲν οὕτως ἴσθι· κακοῖσι δὲ μὴ προσομίλει
ἀνδράσιν, ἀλλ' αἰεὶ τῶν ἀγαθῶν ἔχεο.
καὶ μετὰ τοῖσιν πῖνε καὶ ἔσθιε, καὶ παρὰ τοῖσιν
ἵζε, καὶ ἄνδανε τοῖς, ὧν μεγάλη δύναμις.
ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι· ἢν δὲ κακοῖσιν
συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.
ταῦτα μαθὼν, ἀγαθοῖσιν ὁμίλεε, καί ποτε φήσεις
εὖ συμβουλεύειν τοῖσι φίλοισιν ἐμέ.

Κύρνε, κύει πόλις ἥδε· δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
εὐθυντῆρα κακῆς ὕβριος ἡμετέρης.
ἀστοὶ μὲν γὰρ ἔθ' οἵδε σαόφρονες· ἡγεμόνες δὲ
τετράφαται πολλὴν ἐς κακότητα πεσεῖν.

Οὐδεμίαν πω, Κύρν', ἀγαθοὶ πόλιν ὤλεσαν ἄνδρες.
ἀλλ' ὅταν ὑβρίζειν τοῖσι κακοῖσιν ἄδῃ,
δῆμόν τε φθείρωσι, δίκας τ' ἀδίκοισι διδῶσιν,
οἰκείων κερδῶν εἵνεκα καὶ κράτεος,
ἔλπεο μὴ θηρὸν κείνην πόλιν ἀτρεμέεσθαι,
μηδ' εἰ νῦν κεῖται πολλῇ ἐν ἡσυχίῃ,
εὖτ' ἂν τοῖσι κακοῖσι φίλ' ἀνδράσι ταῦτα γένηται
κέρδεα δημοσίῳ σὺν κακῷ ἐρχόμενα.
ἐκ τῶν γὰρ στάσιές τε, καὶ ἔμφυλοι φόνοι ἀνδρῶν.
μούναρχος δὲ πόλει μή ποτε τῇδε ἄδοι.

Κύρνε, πόλις μὲν ἔθ' ἥδε πόλις, λαοὶ δὲ δὴ ἄλλοι,
οἳ πρόσθ' οὔτε δίκας ἤδεσαν, οὔτε νόμους·
ἀλλ' ἀμφὶ πλευρῇσι δορὰς αἰγῶν κατέτριβον,
ἔξω δ' ὥστ' ἔλαφοι τῆσδ' ἐνέμοντο πόλεος.
καὶ νῦν εἶσ' ἀγαθοὶ, Πολυπαίδη· οἳ δὲ πρὶν ἐσθλοὶ,
νῦν δειλοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν;
ἀλλήλους δ' ἀπατῶσιν, ἐπ' ἀλλήλοισι γελῶντες,
οὔτε κακῶν γνώμας εἰδότες οὔτ' ἀγαθῶν.
Μηδένα τῶνδε φίλον ποιεῦ, Πολυπαίδη, ἀστῶν
ἐκ θυμοῦ, χρείης εἵνεκα μηδεμιῆς.
ἀλλὰ δόκει μὲν πᾶσιν ἀπὸ γλώσσης φίλος εἶναι,
χρῆμα δὲ συμμίξῃς μηδενὶ μηδ' ὁτιοῦν
σπουδαῖον. γνώσῃ γὰρ ὀϊζυρῶν φρένας ἀνδρῶν,
ὡς σφιν ἐπ' ἔργοισι πίστις ἔπ' οὐδεμία,
ἀλλὰ δόλους τ', ἀπάτας τε, πολυπλοκίας τ' ἐφίλησαν
οὕτως, ὥς ἄνδρες μηκέτι σωζόμενοι.

Μή ποτε, Κύρνε, κακῷ πίσυνος βούλευε σὺν ἀνδρὶ,
εὖτ' ἂν σπουδαῖον πρῆγμ' ἐθέλῃς τελέσαι,

ἀλλὰ μετ' ἐσθλὸν ἰὼν βουλεύεο, πολλὰ μογήσας,
καὶ μακρὴν ποσσὶν, Κύρν', ὁδὸν ἐκτελέσας.

Πρῆξιν μηδὲ φίλοισιν ὅμως ἀνακοίνεο πᾶσιν·
παῦροί, τοι πολλῶν πιστὸν ἔχουσι νόον.
Παύροισιν πίσυνος μεγάλ' ἀνδράσιν ἔργ' ἐπιχείρει,
μή ποτ' ἀνήκεστον, Κύρνε, λάβῃς ἀνίην.

Πιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι
ἄξιος, ἐν χαλεπῇ, Κύρνε, διχοστασίῃ.

Παύρους εὑρήσεις, Πολυπαΐδη, ἄνδρας ἑταίρους
πιστοὺς ἐν χαλεποῖς πρήγμασι γιγνομένους,
οἵ τινες ἂν τολμῶεν, δμόφρονα θυμὸν ἔχοντες,
ἶσον τῶν ἀγαθῶν τῶν τε κακῶν μετέχειν.
τοὺς δ' οὐχ εὑρήσεις διζήμενος οὐδ' ἐπὶ πάντας
ἀνθρώπους, οὓς νηῦς μὴ μία πάντας ἄγοι,
οἷσιν ἐπὶ γλώσσῃ τε καὶ ὀφθαλμοῖσιν ἔπεστιν
αἰδὼς, οὐδ' αἰσχρὸν χρῆμ', ἔπι κέρδος ἄγει.

Μή μ' ἔπεσιν μὲν στέργε, νόον δ' ἔχε καὶ φρένας ἄλλῃ
εἴ με φιλεῖς, καί σοι πιστὸς ἔνεστι νόος.
Ἤ με φίλει, καθαρὸν θέμενος νόον, ἢ μ' ἀποειπὼν
ἔχθαιρ', ἀμφαδίην νεῖκος ἀειράμενος.
Ὃς δὲ μιῇ γλώσσῃ δίχ' ἔχει νόον, οὗτος ἑταῖρος
δειλός, Κύρν', ἐχθρὸς βέλτερος, ἢ φίλος ὤν.

[Οὕτω χρὴ τόν γ' ἐσθλὸν ἐπιστρέψαντα νόημα,]
[ἔμπεδον αἰὲν ἔχειν ἐς τέλος ἀνδρὶ φίλῳ.]

Ἄν τις ἐπαινήσῃ σε τόσον χρόνον, ὅσσον ὁρᾷῃ,
νοσφισθεὶς δ' ἄλλῃ γλῶσσαν ἰῇσι κακὴν,
τοιοῦτός τοι ἑταῖρος ἀνὴρ φίλος οὔ τι μάλ' ἐσθλός,
ὅς κ' εἴπῃ γλώσσῃ λῷστα, φρονῇ δ' ἕτερα.
ἀλλ' εἴη τοιοῦτος ἐμὸς φίλος, ὃς τὸν ἑταῖρον
γιγνώσκων, ὀργὴν καὶ βαρὺν ὄντα, φέρει
ἀντὶ κασιγνήτου. σὺ δέ μοι, φίλε, ταῦτ' ἐνὶ θυμῷ
φράζεο, καί ποτέ μου μνήσεαι ἐξοπίσω.

Μηδείς σ' ἀνθρώπων πείσῃ κακὸν ἄνδρα φιλῆσαι,
Κύρνε· τί δ' ἔστ' ὄφελος δειλὸς ἀνὴρ φίλος ὤν;
οὔτ' ἄν σ' ἐκ χαλεποῖο πόνου ῥύσαιτο καὶ ἄτης,
οὔτε κεν ἐσθλὸν ἔχων, τοῦ μεταδοῦν' ἐθέλοι.
Δειλοὺς δ' εὖ ἔρδοντι ματαιοτάτη χάρις ἐστίν·
ἶσον γὰρ σπείρειν πόντον ἁλὸς πολιῆς·
οὔτε γὰρ ἂν πόντον σπείρων, βαθὺ λήϊον ἀμῷς,
οὔτε κακοὺς εὖ δρῶν, εὖ πάλιν ἀντιλάβοις.
ἄπληστον γὰρ ἔχουσι κακοὶ νόον· ἢν δ' ἓν ἁμάρτῃς,
τῶν πρόσθεν πάντων ἐκκέχυται φιλότης.
οἱ δ' ἀγαθοὶ τὸ μέγιστον ἐπαυρίσκουσι παθόντες,
μνῆμα δ' ἔχουσ' ἀγαθῶν καὶ χάριν ἐξοπίσω

Μή ποτε τὸν κακὸν ἄνδρα φίλον ποιεῖσθαι ἑταῖρον,
ἀλλ' αἰεὶ φεύγειν, ὥστε κακὸν λιμένα.
Πολλοί τοι πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι·
ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι·
Κιβδήλου δ' ἀνδρὸς γνῶναι χαλεπώτερον οὐδέν,
Κύρν', οὐδ' εὐλαβίης ἐστὶ περὶ πλέονος.
Χρυσοῦ κιβδήλοιο καὶ ἀργύρου ἄνσχετος ἄτη,
Κύρνε, καὶ ἐξευρεῖν ῥᾴδιον ἀνδρὶ σοφῷ.

εἰ δέ φίλου νόος ἀνδρὸς ἐνὶ στήθεσσι λελήθῃ
ψυδρὸς ἐών, δόλιον δ' ἐν φρεσὶν ἦτορ ἔχῃ,
τοῦτο θεὸς κιβδηλότατον ποίησε βροτοῖσι,
καὶ γνῶναι πάντων τοῦτ' ἀνιηρότατον.
οὐ γὰρ ἂν εἰδείης ἀνδρὸς νόον, οὐδὲ γυναικὸς,
πρὶν πειρηθείης ὥσπερ ὑποζυγίου·
οὐδέ κεν εἰκάσσαις, ὥσπερ ποτ' ἐς ὦριον ἐλθών·
πολλάκι γὰρ γνώμην ἐξαπατῶσ' ἰδέαι.

Μήτ' ἀρετὴν εὔχου, Πολυπαίδη, ἔξοχος εἶναι,
μήτ' ἄφενος· μοῦνον δ' ἀνδρὶ γένοιτο τύχη.

Οὐδὲν ἐν ἀνθρώποισι πατρὸς καὶ μητρὸς ἄμεινον
ἔπλετο, τοῖς ὅσίη, Κύρνε, μέμηλε δίκη.

Οὐδεὶς, Κύρν', ἄτης καὶ κέρδεος αἴτιος αὐτός·
ἀλλὰ θεοὶ τούτων δώτορες ἀμφοτέρων.
οὐδέ τις ἀνθρώπων ἐργάζεται, ἐν φρεσὶν εἰδὼς,
ἐς τέλος εἴτ' ἀγαθὸν γίγνεται, εἴτε κακόν.
πολλάκι γὰρ δοκέων θήσειν κακὸν, ἐσθλὸν ἔθηκεν·
καί τε δοκῶν θήσειν ἐσθλὸν, ἔθηκε κακόν·
οὐδέ τῳ ἀνθρώπων παραγίγνεται, ὅσσ' ἐθέλῃσιν·
ἴσχει γὰρ χαλεπῆς πείρατ' ἀμηχανίης.
ἄνθρωποι δὲ μάταια νομίζομεν, εἰδότες οὐδέν·
θεοὶ δὲ κατὰ σφέτερον πάντα τελοῦσι νόον.

Οὐδείς τω ξεῖνον, Πολυπαίδη, ἐξαπατήσας
οὐδ' ἱκέτην θνητῶν, ἀθανάτους ἔλαθεν.

Βούλεο δ' εὐσεβέων ὀλίγοις σὺν χρήμασιν οἰκεῖν,
ἢ πλουτεῖν, ἀδίκως χρήματα πασάμενος.

Ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή 'στιν·
πᾶς δέ τ' ἀνὴρ ἀγαθός, Κύρνε, δίκαιος ἐών.

Χρήματα μὲν δαίμων καὶ παγκάκῳ ἀνδρὶ δίδωσιν·
Κύρν'· ἀρετῆς δ' ὀλίγοις ἀνδράσι μοῖρ' ἕπεται.

Ὕβριν, Κύρνε, θεὸς πρῶτον κακῷ ὤπασεν ἀνδρὶ,
οὗ μέλλει χώρην μηδεμίαν θέμεναι.
Τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕπηται
ἀνθρώπῳ, καὶ ὅτῳ μὴ νόος ἄρτιος ᾖ.

Μή ποτέ τοι πενίην θυμοφθόρον ἀνδρὶ χολωθεὶς,
μηδ' ἀχρημοσύνην οὐλομένην πρόφερε.
Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιῤῥέπει ἄλλοτε ἄλλως,
ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε δ' οὐδὲν ἔχειν.

Μή ποτε, Κύρν', ἀγορᾶσθαι ἔπος μέγα. οἶδε γὰρ οὐδεὶς
ἀνθρώπων, ὅ τι νὺξ χ' ἡμέρα ἀνδρὶ τελεῖ.

Πολλοί τοι χρῶνται δειλαῖς φρεσὶ, δαίμονι δ' ἐσθλῷ,
οἷς τὸ κακὸν δοκέον γίγνεται εἰς ἀγαθόν.
εἰσὶν δ' οἳ βουλῇ τ' ἀγαθῇ καὶ δαίμονι δειλῷ
μοχθίζουσι· τέλος δ ἔργμασιν οὐχ ἕπεται.

Οὐδεὶς ἀνθρώπων οὔτ' ὄλβιος, οὔτε πανιχρὸς,
οὔτε κακὸς, νόσφιν δαίμονος, οὔτ' ἀγαθός.
Ἄλλ' ἄλλῳ κακόν ἐστι· τὸ δ' ἀτρεκὲς, ὄλβιος οὐδεὶς
ἀνθρώπων, ὁπόσους ἠέλιος καθορᾷ.

Ὃν δὲ θεοὶ τιμῶσιν, ὃ καὶ μωμεύμενος αἰνεῖ·
ἀνδρὸς δὲ σπουδὴ γίγνεται οὐδεμία.

Θεοῖς εὔχου, οἷς ἐστι μέγα κράτος. οὔ τι ἄτερ θεῶν
γίγνεται ἀνθρώποις, οὔτ' ἀγάθ', οὔτε κακά.

Ἄνδρ' ἀγαθὸν πενίη πάντων δάμνησι μάλιστα,
καὶ γήρως πολιοῦ, Κύρνε, καὶ ἠπιάλου·
ἦν δὴ χρὴ φεύγοντα καὶ ἐς βαθυκήτεα πόντον
ῥίπτειν, καὶ πετρέων, Κύρνε, κατ' ἠλιβάτων.
καὶ γὰρ ἀνὴρ πενίῃ δεδμημένος οὔ τέ τι εἰπεῖν
οὔθ' ἕρξαι δύναται· γλῶσσα δὲ οἱ δέδεται.

Χρὴ γὰρ δμῶς ἐπὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
δίζησθαι χαλεπῆς, Κύρνε, λύσιν πενίης.
Τεθνάμεναι, φίλε Κύρνε, πενιχρῷ βέλτερον ἀνδρὶ,
ἢ ζώειν χαλεπῇ τειρόμενον πενίῃ.

Κριοὺς μὲν καὶ ὄνους διζήμεθα, Κύρνε, καὶ ἵππους
εὐγενέας· καί τις βούλεται ἐξ ἀγαθῶν
βήσεσθαι. γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει
ἐσθλὸς ἀνὴρ, ἢν οἱ χρήματα πολλὰ διδῷ.
οὐδὲ γυνὴ κακοῦ ἀνδρὸς ἀναίνεται εἶναι ἄκοιτις
πλουσίου· ἀλλ' ἀφνεὸν βούλεται ἀντ' ἀγαθοῦ.
Χρήματα γὰρ τιμῶσι, καὶ ἐκ κακοῦ ἐσθλὸς ἔγημεν,
καὶ κακὸς ἐξ ἀγαθοῦ. πλοῦτος ἔμιξε γένος.
οὕτω μὴ θαύμαζε γένος, Πολυπαΐδη, ἀστῶν
μαυροῦσθαι. σὺν γὰρ μίσγεται ἐσθλὰ κακοῖς.
Αὐτός τοι ταύτην εἰδὼς κακόπατριν ἐοῦσαν,
εἰς οἴκους ἄγεται, χρήμασι πειθόμενος,

εὔδυξος κακόδοξον, ἐπεὶ κρατερή μιν ἀνάγκη
ἐντύει, ἣ τ᾽ ἀνδρὸς τλήμονα θῆκε νόον.

Χρήματα δ᾽ ὦ Διόθεν καὶ σὺν δίκῃ ἀνδρὶ γένηται
καὶ καθαρῶς, αἰεὶ παρμόνιμον τελέθει.
εἰ δ᾽ ἀδίκως παρὰ καιρὸν ἄνὴρ φιλοκερδεῖ θυμῷ
κτήσεται, εἶθ᾽ ὅρκῳ πὰρ τὸ δίκαιον ἑλὼν,
αὐτίκα μέν τι φέρειν κέρδος δοκεῖ, ἐς δὲ τελευτὴν
αὖτις ἔγεντο κακόν· θεῶν δ᾽ ὑπερέσχε νόος.
ἀλλὰ τάδ᾽ ἀνθρώπων ἀπατᾷ νόον· οὐ γὰρ ἔτ᾽ αὐτοὺς
τίνονται μάκαρες πρήγματος ἀμπλακίης. .
ἀλλ᾽ ὁ μὲν αὐτὸς ἔτισε κακὸν χρέος· οὐδὲ φίλοισιν
ἄτην ἐξοπίσω παισὶν ἐπεκρέμασεν·
ἄλλον δ᾽ οὐ κατέμαρψε δίκη· θάνατος γὰρ ἀναιδὴς
πρόσθεν ἐπὶ βλεφάροις ἔζετο, κῆρα φέρων.

Οὐδείς τοι φεύγοντι φίλος καὶ πιστὸς ἑταῖρος·
τῆς δὲ φυγῆς ἐστὶν τοῦτ᾽ ἀνιηρότερον.

Οἶνόν τοι πίνειν πουλὺν κακόν. ἢν δέ τίς αὐτὸν
πίνῃ ἐπισταμένως, οὐ κακὸς, ἀλλ᾽ ἀγαθός.

Κύρνε, φίλους κάτα πάντας ἐπίστρεφε ποικίλον ἦθος,
ὀργὴν συμμίσγων, ἣν τιν᾽ ἕκαστος ἔχει.
Πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, ὅς ποτὶ πέτρῃ,
τῇ προσομιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη.
νῦν μὲν τῇδ᾽ ἐφέπου, τοτὲ δ᾽ ἄλλοῖος χρόα γίγνου.
κρεῖσσόν τοι σοφίη γίγνεται ἀτροπίης.

Μηδὲν ἄγαν ἄσχαλλε ταρασσομένων πολιητέων,
Κύρνε, μέσην δ᾽ ἔρχευ τὴν ὁδὸν, ὥσπερ ἐγώ.

Ὅς τίς τοι δοκέει τὸν πλησίον ἴδμεναι οὐδέν,
ἀλλ' αὐτὸς μοῦνος ποικίλα δήνε' ἔχειν,
κεῖνός γ' ἄφρων ἐστὶ, νόου βεβλαμμένος ἐσθλοῦ.
ἴσως γὰρ πάντες ποικίλ' ἐπιστάμεθα,
ἀλλ' ὁ μὲν οὐκ ἐθέλει κακοκερδείῃσιν ἕπεσθαι·
τῷ δὲ δολοπλοκίαι μᾶλλον ἄπιστοι ἄδον.

Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνθρώποισιν·
οἳ γὰρ νῦν ἡμέων πλεῖστον ἔχουσι νόον,
διπλάσιον σπεύδουσι. τίς ἂν κορέσειεν ἅπαντας;
χρήματά τοι θνητοῖς γίγνεται ἀφροσύνη.
ἄτη δ' ἐξ αὐτῆς ἀναφαίνεται, ἣν ὁπόταν Ζεὺς
πέμψῃ τειρομένοις, ἄλλοτε ἄλλος ἔχει.

Ἀκρόπολις καὶ πύργος ἐὼν κενεόφρονι δήμῳ,
Κύρν', ὀλίγης τιμῆς ἔμμορεν ἐσθλὸς ἀνήρ.
οὐδὲν ἐπιπρέπει ἡμιν, ἅτ' ἀνδράσι σωζομένοισιν,
ἀλλ' ὡς πάγχυ πόλει, Κύρνε, ἁλωσομένῃ.
Σοὶ μὲν ἐγὼ πτερ' ἔδωκα, σὺν οἷς ἐπ' ἀπείρονα πόντον
πωτήσῃ, κατὰ γῆν πᾶσαν ἀειρόμενος
ῥηϊδίως· θοίνῃς δὲ καὶ εἰλαπίνῃσι παρέσσῃ
ἐν πάσαις, πολλῶν κείμενος ἐν στόμασιν.
καί σε σὺν αὐλίσκοισι λιγυφθόγγοις νέοι ἄνδρες
εὐκόσμως ἐρατοὶ καλά τε καὶ λιγέα
ᾄσονται· καὶ ὅταν δνοφεροῖς ὑπὸ κεύθεσι γαίης
βῇς πολυκωκύτους εἰς Ἀΐδαο δόμους,
οὐδέποτ' οὐδὲ θανὼν ἀπολεῖς κλέος, ἀλλὰ μελήσεις,
ἄφθιτον ἀνθρώποις αἰὲν ἔχων ὄνομα,

Κύρνε, καθ' Ἑλλάδα γῆν στρωφώμενος, ἠδ' ἀνὰ νήσους,
ἰχθυόεντα περῶν πόντον ἐπ' ἀτρύγετον,
οὐχ ἵππων νώτοισιν ἐφήμενος· ἀλλά σε πέμψει
ἀγλαὰ Μουσάων δῶρα ἰοστεφάνων.
πᾶσι γὰρ οἷσι μέμηλε καὶ ἐσσομένοισιν ἀοιδὴ,
ἔσσῃ ὁμῶς, ὄφρ' ἂν γῆ τε καὶ ἠέλιος.
αὐτὰρ ἐγὼν ὀλίγης παρὰ σεῦ οὐ τυγχάνω αἰδοῦς·
ἀλλ' ὥσπερ μικρὸν παῖδα λόγοις μ' ἀπατᾷς.

Κάλλιστον τὸ δικαιότατον· λῷστον δ' ὑγιαίνειν·
πρῆγμα δὲ τερπνότατον, τοῦ τις ἐρῷτο τυχεῖν.
Ἵππος ἐγὼ καλὴ καὶ ἀεθλίη· ἀλλὰ κάκιστον
ἄνδρα φέρω, καί μοι τοῦτ' ἀνιηρότατον.
πολλάκι δ' ἠμέλλησα διαῤῥήξασα χαλινὸν
φεύγειν, ὠσαμένη τὸν κακὸν ἡνίοχον.

Οὔ μοι πίνεται οἶνος, ἐπεὶ παρὰ παιδὶ τερείνῃ
ἄλλος ἀνὴρ κατέχει πολλὸν ἐμοῦ κακίων.
ψυχρόν μοι παρὰ τῇδε φίλοι πίνουσι τοκῆες,
ὥσθ' ἅμα θ' ὑδρεύει, καί με γοῶσα φέρει.
ἔνθα μέσην περὶ παῖδα λαβὼν ἀγκῶν', ἐφίλησα
δειρὴν, ἡ δὲ τέρεν φθέγγετ' ἀπὸ στόματος.

Γνωτή τοι πενίη, καὶ ἀλλοτρίη περ ἐοῦσα·
οὔτε γὰρ εἰς ἀγορὴν ἔρχεται οὔτε δίκας·
πάντη γὰρ τοὔλασσον ἔχει, πάντη δ' ἐπίμυκτος,
πάντη δ' ἐχθρὴ ὁμῶς γίγνεται, ἔνθα περ ᾖ.

Ἴσως τοι τὰ μὲν ἄλλα θεοὶ θνητοῖς ἀνθρώποις,
γῆράς τ' οὐλόμενον καὶ νεότητ' ἔδοσαν.

τῶν πάντων δὲ κάκιστον ἐν ἀνθρώποις, θανάτου τε
καὶ πασέων νούσων ἐστὶ πονηρότατον,
παῖδας ἐπεὶ θρέψαιο, καὶ ἅρμενα πάντα παράσχῃς,
χρήματα δ' ἐγκαταθῇς, πόλλ' ἀνίηρὰ παθών,
τὸν πατέρ' ἐχθαίρουσι, καταρῶνται δ' ἀπολέσθαι,
καὶ στυγέουσ', ὥσπερ πτωχὸν ἐπερχόμενον.

Εἰκὸς τὸν κακὸν ἄνδρα κακῶς τὰ δίκαια νομίζειν,
μηδεμίαν κατόπισθ' ἁζόμενον νέμεσιν.
δειλῷ γάρ τ' ἀπάλαμνα βροτῷ πάρα πόλλ' ἀνελέσθαι
πὰρ ποδὸς, ἡγεῖσθαί θ' ὡς καλὰ πάντα τιθεῖ.

Ἀστῶν μηδενὶ πιστὸς ἐὼν πόδα τόνδε πρόβαινε,
μήθ' ὅρκῳ πίσυνος, μήτε φιλημοσύνῃ,
μηδ' εἰ Ζῆν' ἐθέλῃ παρέχειν βασιλῆα μέγιστον
ἔγγυον ἀθανάτων, πιστὰ τιθεὶς ἐθέλων.
Ἐν γάρ τοι πόλει ὧδε κακοψόγῳ ἀνδάνει οὐδέν·
ὡς δὲ τὸ σῶσαι οἱ πολλοὶ ἀνολβότεροι.
Νῦν δὲ τὰ τῶν ἀγαθῶν κακὰ, γίγνεται ἐσθλὰ κακοῖσιν
ἀνδρῶν· ἡγέονται δ' ἐκτραπέλοισι νόμοις.
αἰδὼς μὲν γὰρ ὄλωλεν, ἀναιδείη δὲ καὶ ὕβρις,
νικήσασα δίκην, γῆν κατὰ πᾶσαν ἔχει.

Οὐδὲ λέων αἰεὶ κρέα δαίνυται· ἀλλά μιν ἔμπης
καὶ κρατερὸν περ ἐόνθ', αἱρεῖ ἀμηχανίη.

Κωτίλῳ ἀνθρώπῳ σιγᾶν χαλεπώτατον ἄχθος·
φθεγγόμενος δ' ἀδῆς, οἷσι παρῇ, πέλεται.
ἐχθαίρουσι δὲ πάντες, ἀναγκαίη δ' ἐπίμιξις
ἀνδρὸς τοιούτου συμποσίῳ τελέθει.

Οὐδεὶς δι' φίλος εἶναι, ἐπὴν κακὸν ἀνδρὶ γένηται,
οὐδ' ἦν ἐκ γαστρός, Κύρνε, μιῆς γεγόνῃ.

Ἱκρὸς καὶ γλυκὺς ἴσθι, καὶ ἀργαλέος, καὶ ἀπηνὴς
λάτρισι καὶ δμωσὶ, γείτοσί τ' ἀγχιθύροις.

Οὐ χρὴ κιγκλίζειν ἀγαθὸν βίον, ἀλλ' ἀτρεμίζειν,
τὸν δὲ κακὸν κινεῖν, ἔστ' ἂν ἐς ὀρθὰ λάβῃς.

Οἱ κακοὶ οὐ πάντως κακοὶ ἐκ γαστρὸς γεγόνασιν,
ἀλλ' ἄνδρεσσι κακοῖς συνθέμενοι φιλίην·
ἔργα τε δειλ' ἔμαθον, καὶ ἔπη δύσφημα καὶ ὕβριν,
ἐλπόμενοι κείνους πάντα λέγειν ἔτυμα.

Ἐν μὲν συσσίτοισιν ἀνὴρ πεπνυμένος εἶναι,
πάντα δέ μιν λήθειν ὡς ἀπεόντα δοκεῖ.
εἰς δὲ φέροι τὰ γελοῖα· θύρηφι δὲ καρτερὸς εἴη,
γιγνώσκων ὀργὴν, ἣν τιν' ἕκαστος ἔχει.

Ἐν μὲν μαινομένοις μάλα μαίνομαι· ἐν δὲ δικαίοις
πάντων ἀνθρώπων εἰμὶ δικαιότατος.

Πολλοί τοι πλουτοῦσι κακοὶ, ἀγαθοὶ δὲ πένονται·
ἀλλ' ἡμεῖς τούτοις οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεὶ,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

Κύρν', ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί·
τολμᾷ δ' ἔν τε κακοῖς κείμενος, ἔν τ' ἀγαθοῖς.

εἰ δὲ θεὸς κακῷ ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσσῃ,
ἀφραίνων κακίην οὐ δύναται κατέχειν.

Μήποτ' ἐπὶ σμικρῇ προφάσει φίλον ἄνδρ' ἀπυλέσσαι,
πειθόμενος χαλεπῇ, Κύρνε, διαβολίῃ.
εἴ τις ἁμαρτωλῇσι φίλων ἐπὶ παντὶ χολῶτο,
οὔ ποτ' ἂν ἀλλήλοις ἄρθμιοι οὐδὲ φίλοι
εἶεν. ἁμαρτωλαὶ γὰρ ἐν ἀνθρώποισιν ἔπονται
θνητοῖς, Κύρνε· θεοὶ δ' οὐκ ἐθέλουσι φέρειν.

Καὶ βραδὺς εὔβουλος εἶλεν ταχὺν ἄνδρα διώκων,
Κύρνε, σὺν εὐθείῃ θεῶν δίκῃ ἀθανάτων.

Ἥσυχος, ὥσπερ ἐγώ, μέσσην ὁδὸν ἔρχεο ποσσὶν,
μηδ' ἑτέροισι διδοὺς, Κύρνε, τὰ τῶν ἑτέρων.

Μήποτε φεύγοντ' ἄνδρα ἐπ' ἐλπίδι, Κύρνε, φιλήσῃς·
οὐδὲ γὰρ οἰκαδε βὰς, γίγνεται αὐτὸς ἔτι.

Μηδὲν ἄγαν σπεύδειν. πάντων μέσ' ἄριστα. καὶ οὕτως
ἕξεις, Κύρν', ἀρετὴν, ἣν τε λαβεῖν χαλεπόν.

Ζεύς μοι τῶν τε φίλων δοίη τίσιν, οἵ με φιλεῦσιν,
τῶν τ' ἐχθρῶν μεῖζον, Κύρνε, δυνησόμενον.
χ' οὕτως ἂν δοκέοιμι μετ' ἀνθρώποις θεὸς εἶναι,
ἢν ἀποτισάμενον μοῖρα κίχῃ θανάτου.
Ἀλλὰ, Ζεῦ, τέλεσόν μοι, Ὀλύμπιε, καίριον εὐχὴν,
δὸς δέ μοι ἀντὶ κακῶν καί τι παθεῖν ἀγαθόν.
τεθναίην δ', εἰ μή τι κακῶν ἄμπαυμα μεριμνέων
εὑροίμην, δοίης τ' ἀντ' ἀνιῶν ἀνίας.

αἶσα γὰρ οὕτως ἐστί· τίσις δ' οὐ φαίνεται ἡμῖν
ἀνδρῶν, οἳ τἀμὰ χρήματ' ἔχουσι, βίῃ
συλήσαντες· ἐγὼ δὲ κύων ἐπέρησα χαράδρην,
χειμάῤῥῳ ποταμῷ πάντ' ἀποσεισάμενος.
τῶν εἴη μέλαν αἷμα πιεῖν, ἐπί τ' ἐσθλὸς ὄροιτο
δαίμων, ὅς κατ' ἐμὸν νοῦν τελέσειε τάδε.

Ἄ δειλὴ πενίη, τί μένεις προλιποῦσα παρ' ἄλλον
ἄνδρ' ἰέναι; τί δὲ δή μ' οὐκ ἐθέλοντα φιλεῖς;
ἀλλ' ἴθι, καὶ δόμον ἄλλον ἐποίχεο, μηδὲ μεθ' ἡμέων
αἰεὶ δυστήνου τοῦδε βίου μέτεχε.

Τόλμα, Κύρνε, κακοῖσιν, ἐπεὶ κἀσθλοῖσιν ἔχαιρες,
εὖτέ σε καὶ τούτων μοῖρ' ἐπέβαλλεν ἔχειν.
ὡς δέ περ ἐξ ἀγαθῶν ἔλαβες κακόν, ὣς δὲ καὶ αὖτις
ἐκδῦναι πειρῶ, θεοῖσιν ἐπευχόμενος.

Μηδὲ λίην ἐπίφαινε· κακὸν δέ τι, Κύρν', ἐπιφαίνειν.
παύρους κηδεμόνας σῆς κακότητος ἔχεις.

Ἀνδρός τοι κραδίη μινύθει μέγα πῆμα παθόντος,
Κύρν'· ἀποτινυμένου δ' αὔξεται ἐξοπίσω.

Εὖ κόπτιλλε τὸν ἐχθρόν· ὅταν δ' ὑποχείριος ἔλθῃ,
τῖσαί νιν, πρόφασιν μηδεμίαν θέμενος.

Ἴσχε νόον· γλώσσῃ δὲ τὸ μείλιχον αἰὲν ἔπεστω·
δειλῶν τοι τελέθει καρδίη ὀξυτέρη.

Οὐδένα, Κύρν', αὐγαὶ φασιμβρότου ἠελίοιο
ἄνδρ' ἐφορῶσ', ᾧ μὴ μῶμος ἐπικρέμαται.

Ἀστῶν δ᾽ οὐ δύναμαι γνῶναι νόον, ὅν τιν᾽ ἔχουσιν·
οὔτε γὰρ εὖ ἔρδων ἀνδάνω, οὔτε κακῶς.
Μωμεῦνται δέ με πολλοὶ, ὁμῶς κακοὶ ἠδὲ καὶ ἐσθλοί·
μιμεῖσθαι δ᾽ οὐδεὶς τῶν ἀσόφων δύναται.

Μή μ᾽ ἀέκοντα βίῃ κεντῶν ὑπ᾽ ἄμαξαν ἔλαυνε,
εἰς φιλότητα λίην, Κύρνε, προσελκόμενος.

Ζεῦ φίλε, θαυμάζω σε. σὺ γὰρ πάντεσσιν ἀνάσσεις,
τιμὴν αὐτὸς ἔχων καὶ μεγάλην δύναμιν.
ἀνθρώπων δ᾽ εὖ οἶσθα νόον καὶ θυμὸν ἑκάστου·
σὸν δὲ κράτος πάντων ἔσθ᾽ ὕπατον, βασιλεῦ.
πῶς δή σευ, Κρονίδη, τολμᾷ νόος ἄνδρας ἀλιτροὺς
ἐν ταυτῇ μοίρῃ τόν τε δίκαιον ἔχειν,
ἣν τ᾽ ἐπὶ σωφροσύνην τρεφθῇ νόος, ἣν τε πρὸς ὕβριν
ἀνθρώπων ἀδίκοις ἔργμασι πειθομένων;
Οὐδέ τι κεκριμένον πρὸς δαίμονός ἐστι βροτοῖσιν,
οὐδ᾽ ὁδὸς, ἣν τις ἰὼν ἀθανάτοισιν ἄδοι.
Ἔμπης δ᾽ ὄλβον ἔχουσιν ἀπήμονα· τοὶ δ᾽ ἀπὸ δειλῶν
ἔργων ἴσχονται θυμὸν, ὅμως πενίην
μητίρ᾽ ἀμηχανίης ἔλαβον, τὰ δίκαια φιλεῦντες.
ἡ τ᾽ ἀνδρῶν προάγει θυμὸν ἐς ἀμπλακίην,
βλάπτουσ᾽ ἐν στήθεσσι φρένας κρατερῆς ὑπ᾽ ἀνάγκης·
τολμᾷ δ᾽ οὐκ ἐθέλων αἴσχεα πολλὰ φέρειν,
χρημοσύνῃ εἴκων, ἣ δὴ κακὰ πολλὰ διδάσκει,
ψεύδεά τ᾽, ἐξαπάτας τ᾽, οὐλομένας τ᾽ ἔριδας,
ἄνδρα καὶ οὐκ ἐθέλοντα· κακὸν δέ οἱ οὐδὲν ἔοικεν·
ἡ γὰρ καὶ χαλεπὴν τίκτει ἀμηχανίην.
Ἐν πενίῃ δ᾽ ὅ τε δειλὸς ἀνὴρ, ὅ τε πολλὸν ἀμείνων,
φαίνεται, εὖτ᾽ ἂν δὴ χρημοσύνη κατέχῃ.

τοῦ μὲν γάρ τ᾽ ἄδικα φρονέει νόος, οὐδέ οἱ αἰεὶ
ἰθεῖα γνώμη στήθεσιν ἐμπέφυεν·
τοῦ δ᾽ αὖ οὔτε κακοῖς ἕπεται νόος, οὔτ᾽ ἀγαθοῖσίν.
τὸν δ᾽ ἀγαθὸν τολμᾷν χρὴ τά τε, καὶ τὰ φέρειν.

Αἰδεῖσθαί τε φίλους, φεύγειν τ᾽ ὀλεσήνορας ὅρκους,
Εὐτράπελ᾽, ἀθανάτων μῆνιν ἀλευάμενος.

Μηδὲν ἄγαν σπεύδειν· καιρὸς δ᾽ ἐπὶ πᾶσιν ἄριστος
ἔργμασιν ἀνθρώπων. πολλάκι δ᾽ εἰς ἀρετὴν
σπεύδει ἀνὴρ κέρδος διζήμενος, ὅν τινα δαίμων
πρόφρων ἐς μεγάλην ἀμπλακίην παράγει,
καί οἱ ἔθηκε δοκεῖν ἃ μὲν ἦ κακά, ταῦτ᾽ ἀγάθ᾽ εἶναι
εὐμαρέως· ἃ δ᾽ ἂν ἦ χρήσιμα, ταῦτα κακά.

Φίλτατος ὢν ἥμαρτες· ἐγὼ δέ τοι αἴτιος οὐδέν,
ἀλλ᾽ αὐτὸς γνώμης οὐκ ἀγαθῆς ἔτυχες.

Οὐδένα θησαυρὸν παισὶν καταθήσῃ ἀμείνω
αἰδοῦς, ἥ τ᾽ ἀγαθοῖς ἀνδράσι, Κύρν᾽, ἕπεται.

Οὐδενὸς ἀνθρώπων κακίων δοκεῖ εἶναι ἑταῖρος,
ᾧ γνώμη θ᾽ ἕπεται, Κύρνε, καὶ ᾧ δύναμις.

Πίνων δ᾽ οὐχ οὕτω θωρήξομαι, οὐδέ με οἶνος
ἐξάγει, ὥστ᾽ εἰπεῖν δεινὸν ἔπος περὶ σοῦ.

Οὐδὲν᾽ ὅμοιον ἐμοὶ δύναμαι διζήμενος εὑρεῖν
πιστὸν ἑταῖρον, ὅτῳ μή τις ἔνεστι δόλος·

ἐς βάσανον δ' ἐλθὼν παρατρίβομαι, ὥστε μολίβδῳ
χρυσός· ὑπερτερίης δ' ἄμμιν ἔνεστι λόγος.

Πολλά με καὶ συνιέντα παρέρχεται· ἀλλ' ὑπ' ἀνάγκης
σιγῶ, γιγνώσκων ἡμετέρην δύναμιν.

Πολλοῖς ἀνθρώποις γλώσσῃ θύραι οὐκ ἐπίκεινται
ἁρμόδιαι, καί σφιν πόλλ' ἀμέλητα μέλει.
πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδον ἄμεινον,
ἐσθλὸν δ' ἐξελθὸν, λώϊον ἢ τὸ κακόν.

Πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον,
μηδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου·
φύντα δ', ὅπως ὤκιστα πύλας Ἀΐδαο περῆσαι,
καὶ κεῖσθαι πολλὴν γῆν ἐπαμησάμενον.

Φῦσαι καὶ θρέψαι ῥᾴων βροτὸν, ἢ φρένας ἐσθλὰς
ἐνθέμεν· οὐδείς πω τοῦτό γ' ἐπεφράσατο,
ὅς τις σώφρων ἔθηκε τὸν ἄφρονα, καὶ κακὸν ἐσθλόν.
εἰ δ' Ἀσκληπιάδαις τοῦτό γ' ἔδωκε θεὸς,
ἰᾶσθαι κακότητα καὶ ἀτηρὰς φρένας ἀνδρῶν,
πολλοὺς ἂν μισθοὺς καὶ μεγάλους ἔφερον.

Εἰ δ' ἦν ποιητόν τε καὶ ἔνθετον ἀνδρὶ νόημα,
οὔ ποτ' ἂν ἐξ ἀγαθοῦ πατρὸς ἔγεντο κακός,
πειθόμενος μύθοισι σαόφροσιν. ἀλλὰ διδάσκων
οὔ ποτε ποιήσεις τὸν κακὸν ἄνδρ' ἀγαθόν.

Νήπιος, ὃς τὸν ἐμὸν μὲν ἔχει νόον ἐν φυλακῇσιν,
τὸν δ' αὐτοῦ ἴδιον οὐδὲν ἐπιστρέφεται.

Οὐδείς τοι πάντ' ἐστὶ πανόλβιος. ἀλλ' ὁ μὲν ἐσθλὸς
τολμᾷ ἔχων τὸ κακόν, κοὐκ ἐπίδηλος ὅμως·
δειλὸς δ' οὔτε κακοῖσιν ἐπίσταται, οὔτ' ἀγαθοῖσιν
θυμὸν δμῶς μίσγειν. ἀθανάτων δὲ δόσεις
παντοῖαι θνητοῖσιν ἐπέρχονται. ἀλλ' ἐπιτολμᾶν
χρὴ δῶρ' ἀθανάτων, οἷα διδοῦσιν, ἔχειν.

Εἴ μ' ἐθέλεις πλύνειν, κεφαλῆς ἀμίαντον ἀπ' ἄκρης
αἰεὶ λευκὸν ὕδωρ ῥεύσεται ἡμετέρης·
εὑρήσεις δέ με πᾶσιν ἐπ' ἔργμασιν ὥσπερ ἄπυφθον
χρυσὸν, ἐρυθρὸν ἰδεῖν, τριβόμενον βασάνῳ,
τοῦ χροιῆς καθύπερθε μέλας οὐχ ἅπτεται ἰὸς,
οὐδ' εὐρὼς, αἰεὶ δ' ἄνθος ἔχει καθαρόν.

Ἄνθρωπ', εἰ γνώμης ἔλαχες μέρος, ὥσπερ ἀνοίης,
καὶ σώφρων οὕτως, ὥσπερ ἄφρων ἐγένου,
πολλοῖς ἂν ζηλωτὸς ἐφαίνεο τῶνδε πολιτῶν,
οὕτως, ὥσπερ νῦν οὐδενὸς ἄξιος εἶ.

Οὔ τοι σύμφορόν ἐστι γυνὴ κέα ἀνδρὶ γέροντι·
οὐ γὰρ πηδαλίῳ πείθεται, ὥστ' ἄκατος·
οὐδ' ἄγκυραι ἔχουσιν· ἀποῤῥήξασα δὲ δεσμὰ,
πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα.

Μή ποτ' ἐπ' ἀπρήκτοισι νόον ἔχε, μηδὲ μενοίνα
χρήμασι, τῶν ἄνυσις γίγνεται οὐδεμία.

Εὐμαρέως τοι χρῆμα θεοὶ δόσαν, οὔ τέ τι δειλὸν
οὔτ' ἀγαθόν· χαλεπῷ δ' ἔργματι κῦδος ἔπι.

Ἀμφ' ἀρετῇ τρίβου, καί σοι τὰ δίκαια φίλ' ἔστω,
μηδέ σε νικάτω κέρδος, ὅτ' αἰσχρὸν ἔῃ.

Μηδένα τῶνδ' ἀέκοντα μένειν κατέρυκε παρ' ἡμῖν,
μηδὲ θύραζε κέλευ' οὐκ ἐθέλοντ' ἰέναι.

Μήθ' εὕδοντ' ἐπέγειρε, Σιμωνίδη, ὅν τιν' ἂν ἡμῶν
θωρηχθέντ' οἶνῳ μαλθακὸς ὕπνος ἕλῃ,
μήτε τὸν ἀγρυπνέοντα κέλευ' ἀέκοντα καθεύδειν·
πᾶν γὰρ ἀναγκαῖον χρῆμ' ἀνιηρὸν ἔφυ.
τῷ πίνειν δ' ἐθέλοντι παρασταδὸν οἰνοχοείτω·
οὐ πάσας νύκτας γίγνεται ἅβρα παθεῖν.
αὐτὰρ ἐγώ — μέτρον γὰρ ἔχω μελιηδέος οἴνου —
ὕπνου λυσικάκου μνήσομαι οἴκαδ' ἰών,
δείξω δ' ὡς οἶνος χαριέστατος ἀνδρὶ πεπόσθαι·
οὔ τέ τι γαρ νήφω, οὔτε λίην μεθύω.
ὃς δ' ἂν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκέτι κεῖνος
τῆς αὐτοῦ γλώσσης καρτερὸς, οὐδὲ νόου·
μυθεῖται δ' ἀπάλαμνα, τὰ νήφοσι γίγνεται αἰσχρά·
αἰδεῖται δ' ἔρδων οὐδέν, ὅταν μεθύῃ,
τὸ πρὶν ἐὼν σώφρων τότε νήπιος. ἀλλὰ σὺ ταῦτα
γιγνώσκων, μὴ πῖν' οἶνον ὑπερβολάδην,
ἀλλ' ἢ πρὶν μεθύειν ὕπανίστασο — μή σε βιάσθω
γαστὴρ, ὥστε κακὸν λάτριν ἐφημέριον —,
ἢ παρεὼν μὴ πῖνε. σὺ δ' ἔγχεε τοῦτο μάταιον·
κωτίλλεις αἰεὶ, τοὔνεκά τοι μεθύεις.
ἡ μὲν γὰρ φέρεται φιλοτήσιος, ἣ δὲ πρόκειται,
τὴν δὲ θεοῖς σπένδεις, τὴν δ' ἐπὶ χειρὸς ἔχεις·
ἀρνεῖσθαι δ' οὐκ οἶδας. ἀνίκητος δέ τοι οὗτος,
ὃς πολλὰς πίνων μή τι μάταιον ἐρεῖ.

Ὑμεῖς δ' εὖ μυθεῖσθε παρὰ κρητῆρι μένοντες,
ἀλλήλων ἔριδας δὴν ἀπερυκόμενοι,
ἐς τὸ μέσον φωνεῦντες, ὁμῶς ἑνὶ καὶ συναπασιν.
χοὔτως συμπόσιον γίγνεται οὐκ ἄχαρι.

Ἄφρονος ἀνδρὸς ὁμῶς καὶ σώφρονος οἶνος, ὅταν δὴ
πίνῃ ὑπὲρ μέτρον, κοῦφον ἔθηκε νόον.

Ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες
γιγνώσκουσ', ἀνδρὸς δ' οἶνος ἔδειξε νόον,
καὶ μάλα περ πινυτοῦ, τὸν ὑπὲρ μέτρον ἤρατο πίνων,
ὥστε καταισχῦναι καὶ πρὶν ἐόντα σοφόν.

Οἰνοβαρέω κεφαλήν, Ὀνομάκριτε, καί με βιᾶται
οἶνος, ἀτὰρ γνώμης οὐκέτ' ἐγὼ ταμίης
ἡμετέρης, τὸ δὲ δῶμα περιτρέχει. ἀλλ' ἄγ' ἀναστὰς
πειρηθῶ, μή πως καὶ πόδας οἶνος ἔχει
καὶ νόον ἐν στήθεσσι. δέδοικα δὲ μή τι μάταιον
ἔρξω θωρηχθείς, καὶ μέγ' ὄνειδος ἔχω.

Οἶνος πινόμενος πουλὺς κακόν. ἢν δέ τις αὐτὸν
πίνῃ ἐπισταμένως, οὐ κακόν, ἀλλ' ἀγαθόν.

Ἦλθες δή, Κλεάριστε, βαθὺν διὰ πόντον ἀνύσσας,
ἐνθάδ' ἐπ' οὐδὲν ἔχοντ', ὦ τάλαν, οὐδὲν ἔχων.
νηός τοι πλευρῇσιν ὑπὸ ζυγὰ θήσομεν ἡμεῖς,
Κλεάρισθ', οἷ' ἔχομεν, χοῖα διδοῦσα θεοί.
τῶν δ' ὄντων τἄριστα παρέξομεν· ἢν δέ τις ἔλθῃ
σεῦ φίλος ἄν, κατάκεισ', ὡς φιλότητος ἔχεις.

οὔ τέ τι τῶν ὄντων ἀποθήσομαι, οὔ τέ τι μεῖζον
σῆς ἕνεκα ξενίης ἄλλοθεν οἰσόμεθα.
ἦν δέ τις εἰρωτᾷ τὸν ἐμὸν βίον, ὧδέ οἱ εἰπεῖν·
ὡς εὖ μὲν χαλεπῶς, ὡς χαλεπῶς δὲ μάλ' εὖ.
ὥσθ' ἕνα μὲν ξεῖνον πατρώϊον οὐκ ἀπολείπειν,
ξείνια δὲ πλεόνεσσ' οὐ δυνατὸς παρέχειν.

Οὔ σε μάτην, ὦ Πλοῦτε, βροτοὶ τιμῶσι μάλιστα·
ἦ γὰρ ῥηϊδίως τὴν κακότητα φέρεις.
καὶ γάρ τοι πλοῦτον μὲν ἔχειν ἀγαθοῖσιν ἔοικεν·
ἦ πενίη δὲ κακῷ σύμφορος ἀνδρὶ φέρειν.

Ὤ μοι ἐγὼν ἦβης καὶ γήραος οὐλομένοιο,
τοῦ μὲν ἐπερχομένου, τῆς δ' ἀπονισσομένης.

Οὔ τέ τινα προῦδωκα φίλον καὶ πιστὸν ἑταῖρον,
οὔτ' ἐν ἐμῇ ψυχῇ δούλιον οὐδὲν ἔνι.

Αἰεί μοι φίλον ἦτορ ἰαίνεται, ὁππότ' ἀκούσω
αὐλῶν φθεγγομένων ἱμερόεσσαν ὄπα·
χαίρω δ' αὖ πίνων, καὶ ὑπ' αὐλητῆρος ἀείδων,
χαίρω δ' εὔφθογγον χερσὶ λύρην ὀχέων.

Οὔ ποτε δουλείη κεφαλὴ ἰθεῖα πέφυκεν·
ἀλλ' αἰεὶ σκολιή, καὐχένα λοξὸν ἔχει.
οὔτε γὰρ ἐκ σκίλλης ῥόδα φύεται, οὐδ' ὑάκινθος·
οὔ τέ ποτ' ἐκ δούλης τέκνον ἐλευθέριον.

Οὗτος ἀνὴρ, φίλε Κύρνε, πέδας χαλκεύεται αὐτῷ,
εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί.

Δειμαίνω, μὴ τήνδε πόλιν, Πολυπαΐδη, ὕβρις,
ἥπερ Κενταύρους ὠμοφάγους, ὀλέσῃ.

Χρή με παρὰ στάθμην καὶ γνώμονα τήνδε δικάσσαι,
Κύρνε, δίκην, ἰσόν τ' ἀμφοτέροισι δόμεν,
μάντεσιν, οἰωνοῖς τε, καὶ αἰθομένοις ἱεροῖσιν,
ὄφρα μὴ ἀμπλακίης αἰσχρὸν ὄνειδος ἔχω.

Μηδένα πω κακότητι βιάζεο. τῷ δὲ δικαίῳ
τῆς εὐεργεσίης οὐδὲν ἀρειότερον.

Ἄγγελος ἄφθογγος πόλεμον πολύδακρυν ἐγείρει,
Κύρν', ἀπὸ τηλαυγέος φαινόμενος σκοπιῆς.
ἀλλ' ἵπποις ἔμβαλλε ταχυπτέρνοισι χαλινούς·
δῄων γάρ σφ' ἀνδρῶν ἀντιάσειν δοκέω.
οὐ πολλὸν τὸ μεσηγύ· διαπρήξουσι κέλευθον,
εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί.

Χρὴ τολμᾶν χαλεποῖσιν ἐν ἄλγεσι κείμενον ἄνδρα,
πρός τε θεῶν αἰτεῖν ἔκλυσιν ἀθανάτων.

Φράζεο. κίνδυνός τοι ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς·
ἄλλοτε πόλλ' ἔξεις, ἄλλοτε παυρότερα,
ὥς τέ σε μήτε λίην ἀφνεὸν κτεάτεσσι γενέσθαι,
μήτε σέ γ' ἐς πολλὴν χρημοσύνην ἐλάσαι.

Εἴη μοι τὰ μὲν αὐτὸν ἔχειν, τὰ δὲ πόλλ' ἐπιδοῦναι
χρήματα τῶν ἐχθρῶν τοῖσι φίλοισιν ἔχειν.

Κικλῆσθαι δ' ἐς δαῖτα, παρέζεσθαι δὲ παρ' ἐσθλὸν
ἄνδρα χρεών, σοφίην πᾶσαν ἐπιστάμενον.
τοῦ συνιεῖν, ὁπόταν τι λέγῃ σοφὸν, ὄφρα διδαχθῇς,
καὶ τοῦτ' εἰς οἶκον κέρδος ἔχων ἀπίῃς.

Ἤβῃ τερπόμενος παίζω. δηρὸν γὰρ ἔνερθεν
γῆς, ὀλέσας ψυχὴν, κείσομαι ὥστε λίθος
ἄφθογγος, λείψω δ' ἐρατὸν φάος ἠελίοιο·
ἤμπτης δ' ἐσθλὸς ἐὼν ὄψομαι οὐδὲν ἔτι.

Δόξα μὲν ἀνθρώποισι κακὸν μέγα, πεῖρα δ' ἄριστον·
πολλοὶ ἀπείρητον δόξαν ἔχουσ' ἀγαθῶν.

Εὖ ἔρδων εὖ πάσχε. τί κ' ἄγγελον ἄλλον ἰάλλοις;
τῆς εὐεργεσίης ῥῃδίη ἀγγελίη.

Οἵ με φίλοι προδιδοῦσιν, ἐπεὶ τὸν γ' ἐχθρὸν ἀλεῦμαι,
ὥστε κυβερνήτης χοιράδας εἰναλίας.

Ῥῄδιον ἐξ ἀγαθοῦ θεῖναι κακὸν, ἢ 'κ κακοῦ ἐσθλόν.
μή με δίδασκ'· οὔ τοι τηλίκος εἰμὶ μαθεῖν.

Ἐχθαίρω κακὸν ἄνδρα· καλυψαμένη δὲ πάρειμι,
σμικρῆς ὄρνιθος κοῦφον ἔχουσα νόον.

Ἐχθαίρω δὲ γυναῖκα περίδρομον, ἄνδρα τε μάργον,
ὃς τὴν ἀλλοτρίην βούλετ' ἄρουραν ἀροῦν.

Ἀλλὰ τὰ μὲν προβέβηκεν, ἀμήχανόν ἐστι γενέσθαι
ἀργά· τὰ δ' ἐξοπίσω τῇ φυλακῇ μελέτω.

Πᾶσίν τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδεν,
ποῖ σχήσειν μέλλει πρήγματος ἀρχομένου.
ἀλλ' ὁ μὲν εὐδοκιμεῖν πειρώμενος, οὐ προνοήσας,
ἐς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν·
τῷ δὲ καλῶς ποιοῦντι θεὸς περὶ πάντα τίθησιν,
συντυχίην ἀγαθὴν, ἔκλυσιν ἀφροσύνης.

Τολμᾶν χρή, τὰ διδοῦσι θεοὶ θνητοῖσι βροτοῖσιν,
ῥηϊδίως δὲ φέρειν ἀμφοτέρων τὸ λάχος,
μήτε κακοῖσιν ἀσῶντα λίην φρένα, μήτ' ἀγαθοῖσιν
τερφθέντ' ἐξαπίνης, πρὶν τέλος ἄκρον ἰδεῖν.

Ἄνθρωπ', ἀλλήλοισιν ἀπόπροθεν ὦμεν ἑταῖροι·
πλὴν τούτου παντὸς χρήματός ἐστι κόρος.
δὴν δὴ καὶ φίλοι ὦμεν. ἀτάρ τ' ἄλλοισιν ὁμιλεῖν
ἀνδράσιν, οἳ τὸν σὸν μᾶλλον ἴσασι νόον.

Οὔ μ' ἔλαθες φοιτῶν κατ' ἀμαξιτόν, ἦν ἄρα καὶ πρὶν
ἠλάστρεις, κλέπτων ἡμετέρην φιλίην.
ἔρρε, θεοῖσίν τ' ἐχθρὲ καὶ ἀνθρώποισιν ἄπιστε,
ψυχρῷ ὃς ἐν κόλπῳ ποικίλον εἶχες ὄφιν.

Τοιάδε καὶ Μάγνητας ἀπώλεσεν ἔργα καὶ ὕβρις,
οἷα τὰ νῦν ἱερὴν τήνδε πόλιν κατέχει.

Πολλῷ τοι πλέονας λιμοῦ κόρος ὤλεσεν ἤδη
ἄνδρας, ὅσοι μοίρης πλεῖον ἔχειν ἔθελον.

Ἀρχῇ ἔπι ψεύδους μικρὴ χάρις· ἐς δὲ τελευτὴν
αἰσχρὸν δὴ κέρδος καὶ κακὸν, ἀμφότερον

γίγνεται· οὐδέ τι καλὸν, ὅτῳ ψεῦδος προσομαρτῇ
ἀνδρὶ, καὶ ἐξέλθῃ πρῶτον ἀπὸ στόματος.

Οὐ χαλεπὸν ψέξαι τὸν πλησίον, οὐδὲ μὲν αὐτὸν
αἰνῆσαι· δειλοῖς ἀνδράσι ταῦτα μέλει·
σιγᾷν δ' οὐκ ἐθέλουσι, κακοὶ κακὰ λεσχάζοντες·
οἱ δ' ἀγαθοὶ πάντων μέτρον ἴσασιν ἔχειν.

Οὐδένα παμπήδην ἀγαθὸν καὶ μέτριον ἄνδρα
τῶν νῦν ἀνθρώπων ἠέλιος καθορᾷ.

Οὔ τι μάλ' ἀνθρώποις καταθύμια πάντα τελεῖται·
πολλὸν γὰρ θνητῶν κρέσσονες ἀθάνατοι.

Πόλλ' ἐν ἀμηχανίῃσι κυλίνδομαι, ἀχνύμενος κῆρ·
ἄκρην γὰρ πενίην οὐχ ὑπερεδράμομεν.

Πᾶς τις πλούσιον ἄνδρα τίει, ἀτίει δὲ πενιχρόν·
πᾶσιν δ' ἀνθρώποις αὐτὸς ἔνεστι νόος.

Παντοῖαι κακότητες ἐν ἀνθρώποισιν ἔασιν,
παντοῖαι δ' ἀρεταὶ, καὶ βιότου παλάμαι.

Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν,
καὶ σιγᾷν αἰεί· τοῦτο γὰρ οὐ δυνατόν.

Αἰσχρόν τοι μεθύοντα παρ' ἀνδράσι νήφοσιν εἶναι·
αἰσχρὸν δ' εἰ νήφων πὰρ μεθύουσι μένῃ.

Ἥβη καὶ νεότης ἐπικουφίζει νόον ἀνδρὸς,
πολλῶν δ' ἐξαίρει θυμὸν ἐς ἀμπλακίην.

Ὤι τινὶ μὴ θυμοῦ κρέσσων νόος, αἰὲν ἐν ἄταις,
Κύρν', ὄγε καὶ μεγάλαις κεῖται ἐν ἀμπλακίαις.

Βουλεύου δὶς καὶ τρὶς, ὅ τοί κ' ἐπὶ τὸν νόον ἔλθῃ·
ἀτηρὸς γὰρ ἀεὶ λάβρος ἀνὴρ τελέθει.

Ἀνδράσι τοῖς ἀγαθοῖς ἕπεται γνώμη τε καὶ αἰδὼς,
οἳ νῦν ἐν πολλοῖς, ἀτρεκέως ὀλίγοι.

Ἐλπὶς καὶ κίνδυνος ἐν ἀνθρώποισιν ὁμοῖοι·
οὗτοι γὰρ χαλεποὶ δαίμονες ἀμφότεροι.

Πολλάκι πὰρ δόξαν τε καὶ ἐλπίδα γίγνεται εὑρεῖν
ἔργ' ἀνδρῶν, βουλαῖς δ' οὐκ ἐπέγεντο τέλος.

Οὔ τοί κ' εἰδαίης οὔτ' εὔνουν, οὔτε τὸν ἐχθρὸν,
εἰ μὴ σπουδαίου πρήγματος ἀντιτύχοις.

Πολλοὶ πὰρ κρητῆρι φίλοι γίγνονται ἑταῖροι,
ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.

Παύρους κηδεμόνας πιστοὺς εὕροις κεν ἑταίρους,
κείμενος ἐν μεγάλῃ θυμὸν ἀμηχανίῃ.

Ἤδη νῦν αἰδὼς μὲν ἐν ἀνθρώποισιν ὄλωλεν,
αὐτὰρ ἀναιδείη γαῖαν ἐπιστρέφεται.

Ἀ δειλὴ πενίη, τί ἐμοῖς ἐπικειμένη ὤμοις
σῶμα καταισχύνεις καὶ νόον ἡμέτερον;
αἰσχρά δέ μ' οὐκ ἐθέλοντα βίῃ καὶ πολλὰ διδάσκεις,
ἐσθλὰ παρ' ἀνθρώπων καὶ κάλ' ἐπιστάμενον.

Εὐδαίμων εἴην καὶ θεοῖς φίλος ἀθανάτοισιν,
Κύρν'· ἀρετῆς δ' ἄλλης οὐδεμιῆς ἔραμαι.

Σύν τοι, Κύρνε, παθόντὶ κακῶς ἀνιώμεθα πάντες·
ἀλλά τοι ἀλλότριον κῆδος ἐφημέριον.

Μηδὲν ἄγαν χαλεποῖσιν ἀεσῶ φρένα, μηδ' ἀγαθοῖσιν
χαῖρ', ἐπεὶ ἐστ' ἀνδρὸς πάντα φέρειν ἀγαθοῦ.

Οὐδ' ὁμόσαι χρὴ τοῦθ', ὅτι μή ποτε πρῆγμα τόδ' ἔσται·
θεοὶ γάρ τε νεμεσῶσ', οἷσιν ἔπεστι τέλος.

Καὶ πρῆξαι μέν τοί τι. καὶ ἐκ κακοῦ ἐσθλὸν ἔγεντο,
καὶ κακὸν ἐξ ἀγαθοῦ. καί τε πενιχρὸς ἀνὴρ
αἶψα μάλ' ἐπλούτησε· καὶ ὃς μάλα πολλὰ πέπαται,
ἐξαπίνης πάντ' οὖν ὤλεσε νυκτὶ μιῇ.

Καὶ σώφρων ἥμαρτε, καὶ ἄφρονι πολλάκι δόξα
ἕσπετο, καὶ τιμῆς καὶ κακὸς ὧν ἔλαχεν.

Εἰ μὲν χρήματ' ἔχοιμι, Σιμωνίδη, οἷά περ ἤδειν,
οὐκ ἂν ἀνιώμην τοῖς ἀγαθοῖσι συνών.
νῦν δέ με γιγνώσκοντα παρέρχεται· εἰμὶ δ' ἄφωνος
χρημοσύνῃ, πολλῶν γνοὺς περ ἄμεινον ἔτι,
οὕνεκα νῦν φερόμεσθα, καθ' ἑστία λευκὰ βαλόντες,
Μηλίου ἐκ πόντου νύκτα διὰ δνοφερήν·
ἀντλεῖν δ' οὐκ ἐθέλουσιν· ὑπερβάλλει δὲ θάλασσα
ἀμφοτέρων τοίχων. ἦ μάλα τις χαλεπῶς

σώζεται· οἱ δ' ἔρδουσι. κυβερνήτην μὲν ἔπαυσαν
ἐσθλόν, ὅ τις φυλακὴν εἶχεν ἐπισταμένως·
χρήματα δ' ἁρπάζουσι βίῃ, κόσμος δ' ἀπόλωλεν,
δασμὸς δ' οὐκέτ' ἴσος γίγνεται ἐς τὸ μέσον·
φορτηγοὶ δ' ἄρχουσι, κακοὶ δ' ἀγαθῶν καθύπερθεν·
δειμαίνω μή πως ναῦν κατὰ κῦμα πίῃ.
ταῦτά μοι ἠνίχθω, κεκρυμμένα τοῖς ἀγαθοῖσιν·
γιγνώσκοι δ' ἄν τις καὶ κακός, ἂν σοφὸς ᾖ.

Πολλοὶ πλοῦτον ἔχουσιν ἀϊδρίες· οἱ δὲ τὰ καλὰ
ζητοῦσιν, χαλεπῇ τειρόμενοι πενίῃ.
ἔρδειν δ' ἀμφοτέροισιν ἀμηχανίη παράκειται·
εἴργει γὰρ τοὺς μὲν χρήματα, τοὺς δὲ νόος.

Οὔκ ἔστιν θνητοῖσι παρ' ἀθανάτους μαχέσασθαι,
οὐδὲ δίκην εἰπεῖν· οὐδενὶ τοῦτο θέμις.

Οὐ χρὴ πημαίνειν, ὅ τι μὴ πημαντέον εἴη·
οὐδ' ἔρδειν, ὅ τι μὴ λώϊον ᾖ τελέσαι.

Χαίρων εὖ τελέσειας ὁδὸν μεγάλου διὰ πόντου,
καί σε Ποσειδάων χάρμα φίλοις ἀγάγοι.

Πολλούς τοι κόρος ἄνδρας ἀπώλεσεν ἀφραίνοντας·
γνῶναι γὰρ χαλεπὸν μέτρον, ὅτ' ἐσθλὰ παρῇ.

Οὐ δύναμαί σοι, θυμέ, παρασχεῖν ἅρμενα πάντα·
τέτλαθι· τῶν δὲ καλῶν οὔ τι σὺ μοῦνος ἐρᾷς.

Εὖ μὲν ἔχοντος ἐμοῦ πολλοὶ φίλοι· ἢν δέ τι δεινὸν
συγκύρῃ, παῦροι πιστὸν ἔχουσι νόον.

Πλήθει δ' ἀνθρώπων ἀρετὴ μία γίγνεται ἥδε,
πλουτεῖν· τῶν δ' ἄλλων οὐδὲν ἄρ' ἦν ὄφελος,
οὐδ' εἰ σωφροσύνην μὲν ἔχοις Ῥαδαμάνθυος αὐτοῦ
πλείονα δ', εἰδείης Σισύφου Αἰολίδεω,
ὅς τε καὶ ἐξ Ἀΐδεω πολυϊδρείῃσιν ἀνῆλθεν,
πείσας Περσεφόνην αἰμυλίοισι λόγοις,
ἥ τε βροτοῖς παρέχει λήθην, βλάπτουσα νόοιο —
ἄλλος δ' οὔ πώ τις τοῦτό γ' ἐπεφράσατο,
ὅν τινα δὴ θανάτοιο μέλαν νέφος ἀμφικαλύψῃ,
ἔλθῃ δ' ἐς κρυερὸν χῶρον ἀποφθιμένων,
αὖανέας τε πύλας παραμείψεται, αἵ τε θανόντων
ψυχὰς εἴργουσιν, καί περ ἀναινομένας·
ἀλλ' ἄρα καὶ κεῖθεν πάλιν ἦλυθε Σίσυφος ἥρως
ἐς φάος ἠελίου, σφῇσι πολυφροσύναις· —
οὐδ' εἰ ψεύδεα μὲν ποιοῖς ἐτύμοισιν ὁμοῖα,
γλῶσσαν ἔχων ἀγαθὴν Νέστορος ἀντιθέου,
ἀκύτερος δ' εἴησθα πόδας ταχέων Ἁρπυιῶν,
καὶ παίδων Βορέω, τῶν ἅφαρ ἴσι πόδες.
ἀλλὰ χρὴ πάντας γνώμην ταύτην κατατθέσθαι,
ὡς πλοῦτος πλείστην πᾶσιν ἔχει δύναμιν.

Ἴσόν τοι πλουτοῦσιν, ὅτῳ πολὺς ἄργυρός ἐστιν
καὶ χρυσός, καὶ γῆς πυροφόρου πεδία,
ἵπποι θ' ἡμίονοί τε, καὶ ᾧ τὰ δέοντα πάρεστιν,
γαστρί τε καὶ πλευραῖς καὶ ποσὶν ἁβρὰ παθεῖν
παιδός τ' ἠδὲ γυναικός. ὅταν δέ γε τῶν ἅφάπτηται
ὥρη, σὺν δ' ἦβη γίγνεται ἁρμοδίη,

ταῦτ' ἄφενος θνητοῖσι. τὰ γὰρ περιώσια πάντα
χρήματ' ἔχων οὐδεὶς ἔρχεται εἰς Ἀΐδεω,
οὐδ' ἂν ἄποινα διδοὺς θάνατον φύγοι, οὐδὲ βαρείας
νούσους, οὐδὲ κακὸν γῆρας ἐπερχόμενον.

Φροντίδες ἀνθρώπων ἔλαχον πτερὰ, ποικίλ' ἔχουσαι,
μυρόμεναι ψυχῆς εἵνεκα καὶ βιοτῆς.

Ζεῦ πάτερ, εἴθε γένοιτο θεοῖς φίλα, τοῖς μὲν ἀλιτροῖς
ὕβριν ἀδεῖν· καί σφιν τοῦτο γένοιτο φίλον
θυμῷ, σχέτλια ἔργα μετὰ φρεσὶν ὅστις ἀπηνὴς
ἐργάζοιτο, θεῶν μηδὲν ὀπιζόμενος,
αὐτὸν ἔπειτα πάλιν τῖσαι κακὰ, μηδέ τ' ὀπίσσω
πατρὸς ἀτασθαλίαι παισὶ γένοιντο κακόν.
παῖδες δ', οἵ τ' ἀθίκου πατρὸς τὰ δίκαια νοεῦντες
ποιῶσι, Κρονίδη, σὸν χόλον ἀζόμενοι,
ἐξ ἀρχῆς τὰ δίκαια, μετ' ἀσκοῖσιν φιλέοντες,
μή τιν' ὑπερβασίην ἀντιτίνειν πατέρων.
ταῦτ' εἴη μακάρεσσι θεοῖς φίλα. νῦν δ' ὁ μὲν ἔρδων
ἐκφεύγει, τὸ κακὸν δ' ἄλλος ἔπειτα φέρει.

Καὶ τοῦτ', ἀθανάτων βασιλεῦ, πῶς ἐστὶ δίκαιον,
ἔργων ὅς τις ἀνὴρ ἐπτὸς ἐὼν ἀδίκων,
μή τιν' ὑπερβασίην κατέχων, μηδ' ὅρκον ἀλιτρὸν,
ἀλλὰ δίκαιος ἐὼν, μὴ τὰ δίκαια πάθῃ;
τίς δή κεν βροτὸς ἄλλος, ὁρῶν πρὸς τοῦτον, ἔπειτα
ἅζοιτ' ἀθανάτους; καὶ τίνα θυμὸν ἔχων,
ὁππότ' ἀνὴρ ἄδικος καὶ ἀτάσθαλος, οὔ τέ τι ἀνδρῶν
οὔ τέ τι ἀθανάτων μῆνιν ἀλευόμενος,

ὑβρίζῃ πλούτῳ κεκορημένος, οἱ δὲ δίκαιοι
τρύχωνται, χαλεπῇ τειρόμενοι πενίῃ;

Ταῦτα μαθὼν, φίλ' ἑταῖρε, δικαίως χρήματα ποιοῦ,
σώφρονα θυμὸν ἔχων ἐκτὸς ἀτασθαλίης,
αἰεὶ τῶνδ' ἐπέων μεμνημένος· ἐς δὲ τελευτὴν
αἰνήσεις, μύθῳ σώφρονι πειθόμενος.

Ζεὺς μὲν τῆσδε πόληος ὑπείρεχοι, αἰθέρι ναίων,
αἰεὶ δεξιτερὴν χεῖρ' ἐπ' ἀπημοσύνῃ,
ἄλλοι τ' ἀθάνατοι μάκαρες θεοί· αὐτὰρ Ἀπόλλων
ἀρθρώσαι γλῶσσαν καὶ νόον ἡμέτερον.

Φόρμιγγ' αὖ φθέγγοισθ' ἱερὸν μέλος, ἠδὲ καὶ αὐλῷ,
ἡμεῖς δὲ σπονδὰς θεοῖσιν ἀρεσσάμενοι
πίνωμεν, χαίροντα μετ' ἀλλήλοισι λέγοντες,
μηδὲν τὸν Μήδων δειδιότες πόλεμον.
ὧδ' εἶναι. καὶ ἄμεινον ἐΰφρονα θυμὸν ἔχοντας
νόσφι μεριμνάων εὐφροσύνως διάγειν
τερπομένους, τηλοῦ δὲ κακὰς ἀπὸ κῆρας ἀμῦναι,
γῆράς τ' οὐλόμενον, καὶ θανάτοιο τέλος.

Χρὴ Μουσῶν θεράποντα καὶ ἄγγελον, εἴ τι περισσὸν
εἰδείη σοφίης, μὴ φθονερὸν τελέθειν,
ἀλλὰ τὰ μὲν μῶσθαι, τὰ δὲ δεικνύναι, ἄλλα δὲ ποιεῖν.
τί σφιν χρήσηται, μοῦνος ἐπιστάμενος;

Φοῖβε ἄναξ, αὐτὸς μὲν ἐπύργωσας πόλιν ἄκρην,
Ἀλκαθόῳ Πέλοπος παιδὶ χαριζόμενος·

κὐτὸς δὲ στρατὸν ὕβριστὴν Μήδων ἀπέρυκε
τῆσδε πόλεως, ἵνα σοι λαοὶ ἐν εὐφροσύνῃ
ἦρος ἐπερχομένου, κλειτὰς πέμπωσ' ἑκατόμβας,
τερπόμενοι κιθάρῃ καὶ ἐρατῇ θαλίῃ,
παιάνων τε χοροῖς, ἰαχαῖσί τε σὸν περὶ βωμόν.
ἦ γὰρ ἔγωγε δέδοικ', ἀφραδίην ἐσορῶν
καὶ στάσιν Ἑλλήνων λαοφθόρον· ἀλλὰ σὺ, Φοῖβε,
ἵλαος ἡμετέρην τήνδε φύλασσε πόλιν.

Ἦλθον μὲν γὰρ ἔγωγε καὶ ἐς Σικελὴν ποτε γαῖαν,
ἦλθον δ' Εὐβοίης ἀμπελόεν πεδίον,
Σπάρτην τ', Εὐρώτα θρεπτικοτρόφου ἀγλαὸν ἄστυ·
καί μ' ἐφίλευν προφρόνως πάντες ἐπερχόμενον.
ἀλλ' οὔ τίς μοι τέρψις ἐπὶ φρένας ἦλθεν ἐκείνων·
οὕτως οὐδὲν ἄρ' ἦν φίλτερον ἄλλο πάτρης.

Μή ποτέ μοι μελέδημα νεώτερον ἄλλο φανείη
ἀντ' ἐρατῆς σοφίης, ἀλλὰ τόδ' αἰὲν ἔχων
τερποίμην φόρμιγγι καὶ ὀρχηθμῷ καὶ ἀοιδῇ,
καὶ μετὰ τῶν ἀγαθῶν ἐσθλὸν ἔχοιμι νόον.

Μή τέ τινα ξείνων θηλεύμενος ἔργμασι λυγροῖς,
μή τέ τιν' ἐνδήμων, ἀλλὰ δίκαιος ἐὼν
τὴν σ' αὐτοῦ φρένα τέρπε· δυσηλεγέων δὲ πολιτῶν
ἄλλος τίς σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

Τοὺς ἀγαθοὺς ἄλλος μάλα μέμφεται, ἄλλο ἐπαινεῖ·
τῶν δὲ κακῶν μνήμη γίγνεται οὐδαμία.

Ἀνθρώπων δ' ἄψεκτος ἐπὶ χθονὶ γίγνεται οὐδείς·
ἀλλ' ὡς λώϊον, οὗ μὴ πλιόνεσσι μέλει.

Οὐδεὶς ἀνθρώπων οὔτ' ἔσσεται οὔτε πέφυκεν,
ὅς τις πᾶσιν ἁδὼν δύσεται εἰς Ἀΐδεω.
οὐδὲ γὰρ ὃς θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει,
Ζεὺς Κρονίδης, θνητοῖς πᾶσιν ἁδεῖν δύναται.

Τόρνου καὶ στάθμης καὶ γνώμονος ἄνδρα θεωρὸν
εὐθύτερον χρή μιν, Κύρνε, φυλασσόμεναι,
ᾧ τινί κεν Πυθῶνι θεοῦ χρήσασ' ἱέρεια
ὀμφὴν σημήνῃ πίονος ἐξ ἀδύτου.
οὔ τέ τι γὰρ προσθεὶς οὐδέν κ' ἔτι φάρμακον εὕροις,
οὔτ' ἀφελὼν πρὸς θεῶν ἀμπλακίην προφύγοις.

Χρῆμ' ἔπαθον θανάτου μὲν ἀεικέος οὔ τι κάκιον,
τῶν δ' ἄλλων πάντων, Κύρν', ἀνιηρότατον.
οἵ με φίλοι προὔδωκαν. ἐγὼ δ' ἐχθροῖσι πελασθείς,
εἰδήσω καὶ τῶν ὅν τιν' ἔχουσι νόον.

Βοῦς μοι ἐπὶ γλώσσης κρατερῷ ποδὶ λὰξ ἐπιβαίνων,
ἴσχει κωτίλλειν καί περ ἐπιστάμενον.

Κύρν', ἔμπης δ' ὅ τι μοῖρα παθεῖν, οὐκ ἔσθ' ὑπαλύξαι,
ὅ ττι δὲ μοῖρα παθεῖν, οὔ τι δέδοικα παθεῖν.

Ἐς πολυάρητον κακὸν ἥκομεν, ἔνθα μάλιστα,
Κύρνε, συναμφοτέρους μοῖρα λάβοι θανάτου.

Οἱ δ' ἀπογηράσκοντας ἀτιμάζουσι τοκῆας,
τούτων τοι χώρη, Κύρν', ὀλίγη τελέθει.

Μή τέ τιν' αὖξε τύραννον ἐπ' ἐλπίδι, κέρδεσιν εἴκων·
μήτε κτεῖνε, θεῶν ὅρκια συνθέμενος.

Πῶς ὑμῖν τέτληκεν ὑπ' αὐλητῆρος ἀείδειν
θυμός; γῆς δ' οὖρος φαίνεται ἐξ ἀγορῆς,
ὅ τε τρέφει καρποῖσιν ἐν εἰλαπίναις φορέοντας
ξανθῇσίν τε κόμαις πορφυρέους στεφάνους.
Ἀλλ' ἄγε δή, Σκύθα, κεῖρε κόμην, ἀπόπαυε δὲ κῶμον,
πένθει δ' εὐώδη χῶρον ἀπολλύμενον.

Πίστει χρήματ' ὄλεσσα, ἀπιστίῃ δ' ἐσάωσα·
γνώμη δ' ἀργαλέη γίγνεται ἀμφοτέρων.

Πάντα τάδ' ἐν κοράκεσσι καὶ ἐν φθόρῳ. οὐδέ τις ἡμῖν
αἴτιος ἀθανάτων, Κύρνε, θεῶν μακάρων,
ἀλλ' ἀνδρῶν τε βίη καὶ κέρδεα δειλὰ καὶ ὕβρις
πολλῶν ἐξ ἀγαθῶν ἐς κακότητ' ἔβαλον.

Μισσαί τοι πόσιος κῆρες δειλοῖσι βροτοῖσιν,
δίψα τε λυσιμελὴς καὶ μέθυσις χαλεπή.
Τούτων δ' ἂν τὸ μέσον στρωφήσομαι, οὐδέ με πείσεις
οὔ τέ τι μὴ πίνειν οὔτε λίην μεθύειν.

Οἶνος ἐμοὶ τὰ μὲν ἄλλα χαρίζεται, ἓν δ' ἄγριστος,
εὖτ' ἂν θωρήξας μ' ἄνδρα πρὸς ἐχθρὸν ἄγῃ.

Ἀλλ᾽ ὁπόταν καθύπερθεν ἐὼν ὑπένερθε γένηται,
τουτάκις οἶκαδ᾽ ἴμεν, παυσάμενοι πόσιος.

Εὖ μὲν κείμενον ἄνδρα κακῶς θέμεν εὐμαρές ἐστιν,
εὖ δὲ θέμεν τὸ κακῶς κείμενον ἀργαλέον.

Λάξ ἐπίβα δήμῳ κενεόφρονι, τύπτε δὲ κέντρῳ
ὀξεῖ, καὶ ζεύγλην δύσλοφον ἀμφιτίθει.
οὐ γὰρ ἔθ᾽ εὑρήσεις δῆμον φιλοδέσποτον ὧδε
ἀνθρώπων ὁπόσους ἠέλιος καθορᾷ.

Ζεὺς ἄνδρ᾽ ἐξολέσειεν Ὀλύμπιος, ὃς τὸν ἑταῖρον
μαλθακὰ κωτίλλων ἐξαπατᾶν ἐθέλει.

Ἤιδεα μὲν καὶ πρόσθεν, ἀτὰρ πολὺ λώϊον ἤδη,
οὕνεκα τοῖς δειλοῖς οὐδεμί᾽ ἔστι χάρις.

Πολλάκις ἡ πόλις ἥδε δι᾽ ἡγεμόνων κακότητα
ὥςπερ κεκλιμένη ναῦς παρὰ γῆν ἔδραμεν.

Τῶν δὲ φίλων εἰ μέν τις ὁρᾷ μέ τι δεινὸν ἔχοντα,
αὐχέν᾽ ἀποστρέψας οὐδ᾽ ἐςορᾶν ἐθέλει·
ἢν δέ τι μοί ποθεν ἐσθλόν, ἃ παύρακι γίγνεται ἀνδρί,
πολλοὺς ἀσπασμοὺς καὶ φιλότητας ἔχω.

Ὦ μοι φίλοι προδιδοῦσι, καὶ οὐκ ἐθέλουσί τι δοῦναι
ἀνδρῶν φαινομένων· ἀλλ᾽ ἐγὼ αὐτομάτη
ἐσπερίη, τ᾽ ἔξειμι καὶ ὀρθρίη αὖθις ἔςειμι,
ἦμος ἀλεκτρυόνων φθόγγος ἐγειρομένων.

Πολλοῖς ἀχρήστοισι θεὸς διδοῖ ἀνδράσιν ὄλβον
ἐσθλὸν, ὃς οὔτ' αὐτῷ βέλτερος οὐδὲν ἐὼν,
οὔτε φίλοις. ἀρετῆς δὲ μέγα κλέος οὔ ποτ' ὀλεῖται·
αἰχμητὴς γὰρ ἀνὴρ γῆν τε καὶ ἄστυ σαοῖ.

Ἐν μοι ἔπειτα πάσοι μέγας οὐρανὸς εὐρὺς ὑπερθεν,
χάλκεος, ἀνθρώπων δεῖμα χαμαιγενέων,
εἰ μὴ ἐγὼ τοῖσιν μὲν ἐπαρκέσω, οἵ με φιλεῦσιν,
τοῖς δ' ἐχθροῖς ἀνίη καὶ μέγα πῆμ' ἔσομαι.

Οἶνε, τὰ μέν σ' αἰνῶ, τὰ δὲ μέμφομαι· οὐδέ σε πάμπαν
οὔ τέ ποτ' ἐχθαίρειν οὔ τε φιλεῖν δύναμαι.
ἐσθλὸν καὶ κακόν ἐσσι. τίς ἂν σέ γε μωμήσαιτο;
τίς δ' ἂν ἐπαινήσαι, μέτρον ἔχων σοφίης;

Ἠβάοις, φίλε θυμέ. τάχ' αὖ τινὲς ἄλλοι ἔσονται
ἄνδρες, ἐγὼ δὲ θανὼν γαῖα μέλαιν' ἔσομαι.

Πῶ' οἶνον, τὸν ἐμοὶ κορυφῆς ἄπο Τηϋγέτοιο
ἄμπελοι ἤνεγκαν, τὰς ἐφύτευσ' ὁ γέρων
οὖρεος ἐν βήσσῃσι, θεοῖσι φίλος Θεότιμος,
ἐκ πλατανιστοῦντος ψυχρὸν ὕδωρ ἐπάγων.
τοῖ πίνων ἀπὸ μὲν χαλεπὰς σκεδάσεις μελεδῶνας,
θωρηχθεὶς δ' ἔσεαι πολλὸν ἐλαφρότερος.

Εἰρήνη καὶ πλοῦτος ἔχοι πόλιν, ὄφρα μετ' ἄλλων
κωμάζοιμι. κακοῦ δ' οὐκ ἔραμαι πολέμου.

Μηδὲ λίην κήρυκος ἀν' οὖς ἔχε μακρὰ βοῶντος·
οὐ γὰρ πατρῴας γῆς πέρι μαρνάμεθα.

Ἀλλ' αἰσχρὸν παρεόντα καὶ ὀκνηρὸν ἐπιβάντα
ἵππων, μὴ πόλεμον δεπρυδεντ' ἐρυθεῖν.

Οἴ μοι ὀναλκείης! ἀπὸ μὲν Κήρινθος ὄλωλεν,
Ληλάντου δ' ἀγαθὸν κείρεται οἰνόπεδον,
οἱ δ' ἀγαθοὶ φεύγουσι, πόλιν δὲ κακοὶ διέπουσιν·
ὡς δὴ κυψελίζων Ζεὺς ὀλέσαι γένος.

Γνώμης δ' οὐδὲν ἄμεινον ἀνὴρ ἔχει αὐτὸς ἐν αὐτῷ,
οὐδ' ἀγνωμοσύνης, Κύρν', ἀνιηρότερον.

Μὴ πάντ' ἀνδράσι, Κύρνε, καταθνητοῖς χαλεπαίνειν,
γιγνώσκων ὡς νοῦν οἷον ἕκαστος ἔχει
αὐτὸς ἐνὶ στήθεσσι, καὶ ἔργματα τῷ τε δικαίῳ
τῷ τ' ἀδίκῳ, μέγα κεν πῆμα βροτοῖσιν ἐπῆν.

Ἔστιν ὁ μὲν χείρων, ὁ δ' ἀμείνων ἔργον ἕπαστον·
οὐδεὶς δ' ἀνθρώπων αὐτὸς ἅπαντα σοφός.

Ὅς τις ἀνάλωσιν τηρεῖ κατὰ χρήματα θηρῶν,
κυδίστην ἀρετὴν τοῖς συνιεῖσιν ἔχει.
εἰ μὲν γὰρ κατιδεῖν βιότου τέλος ἦν, ὁπόσον τις
ἤμελλ' ἐκτελέσας εἰς Ἀΐδαο περᾶν,
εἰκὸς ἂν ἦν, ὅς μὲν πλείω χρόνον αἶσαν ἔμιμνεν,
φείδεσθαι μᾶλλον τοῦτον ὃν εἶχε βίον·
νῦν δ' οὐκ ἔστιν. ὃ δὴ καὶ ἐμοὶ μέγα πένθος ὄροψεν,
καὶ δάκνομαι ψυχήν, καὶ δίχα θυμὸν ἔχω,
ἐν τριόδῳ δ' ἕστηκα. δύ' εἰσὶν πρόσθεν ὁδοί μοι·
φροντίζω τούτων ἤν τιν' ἴω προτέρην·

ἢ μηδὲν δεινῶν τρύχου βίον ἐν κακότητι,
ἢ ζώου τερπνῶς, ἔργα τελῶν ὀλίγα.
εἶδον μὲν γὰρ ἔγωγ' ὃς ἐφείδετο, καὶ ποτε γαστρὶ
σῖτον ἐλευθέριον πλουσιος ὢν ἐδίδου·
ἀλλὰ πρὶν ἐκτελέσαι πανέβη δόμον Ἄϊδος εἴσω,
χρήματα δ' ἀνθρώπων οὐπιανχὼν ἔλαβεν,
ὥστ' ἐς ἄκαιρα πονεῖν, καὶ μὴ θόμεν ᾧ κ' ἐθέλοι τις.
εἶδον δ' ἄλλον ὃς ἦν γαστρὶ χαριζόμενος·
χρήματα μὲν διέτρωγεν, ἔφη δ', ὑπέχων φρένα τέρψας·
πτωχεύει δὲ φίλους πάντας, ὅπου τιν' ἴδῃ.

Οὕτω, Δημόκλεις, κατὰ χρήματ' ἄριστον ἁπάντων
τὴν δαπάνην θέσθαι, καὶ μελέτην ἐχέμεν.
οὔτε γὰρ ἂν προκαμὼν ἄλλῳ κάματον μεταδοίης,
οὔτ' ἂν πτωχεύων δουλοσύνην τελέοις.
οὐδ' εἰ γῆρας ἵκοιο, τὰ χρήματά πάντ' ἀποδραίη·
ἐν δὲ τοιῷδε γένει χρήματ' ἄριστον ἔχειν.
ἤμὲν γὰρ πλουτῇς, πολλοὶ φίλοι· ἢν δὲ πένηαι,
παῦροι· οὐκέθ' ὁμῶς αὐτὸς ἀνὴρ ἀγαθός.

Φίδεσθαι μὲν ἄμεινον, ἐπεὶ οὐδὲ θανόντ' ἀποκλαίει
οὐδείς, ἢν μὴ ὁρᾷ χρήματα λειπόμενα.

Πύροις ἀνθρώπων ἀρετὴ καὶ κάλλος ὀπηδεῖ·
ὄλβιος ὃς τούτων ἀμφοτέρων ἔλαχεν.
παντες μιν τιμῶσιν· ὁμῶς νέοι οἵ τε κατ' αὐτὸν
χώρης εἴκουσιν, τοί τε παλαιότεροι.
γηράσκων ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
βλάπτειν οὔτ' αἰδοῦς οὔτε δίκης ἐθέλει.

Οὐ δύναμαι φωνῇ λιγὺρ ᾠδέμεν, ὥςπερ ἀηδών·
καὶ γὰρ τὴν προτέρην νύκτ' ἐπὶ κῶμον ἔβην.
οὐδὲ τὸν αὐλητὴν προφασίζομαι· ἀλλά μ' ἑταῖρος
ἐκλείπει, σοφίης οὐκ ἐπιδευόμενος.
ἐγγύθεν αὐλητῆρος ἀείσομαι ὧδε καταστὰς
δεξιὸς, ἀθανάτοις θεοῖσιν ἐπευχόμενος.

Εἶμι παρὰ στάθμην ὀρθὴν ὁδὸν, οὐδετέρωσε
κλινόμενος· χρὴ γάρ μ' ἄρτια πάντα νοεῖν.

Πατρίδα κοσμήσω, λιπαρὴν πόλιν, οὔτ' ἐπὶ δήμῳ
τρέψας, οὔτ' ἀδίκοις ἀνδράσι πειθόμενος.

Νεβρὸν ὑπὲξ ἐλάφοιο λέων ὡς ἀλκὶ πεποιθὼς,
ποσσὶ καταμάρψας, αἵματος οὐκ ἔπιον·
τειχέων δ' ὑψηλῶν ἐπιβὰς, πόλιν οὐκ ἀλάπαξα·
ζευξάμενος δ' ἵππους, ἅρματος οὐκ ἐπέβην·
πρήξας δ' οὐκ ἔπρηξα, καὶ οὐκ ἐτέλεσσα τελέσσας·
δρήσας δ' οὐκ ἔδρησ', ἦνυσα δ' οὐκ ἀνύσας.

Δειλοὺς εὖ ἔρδοντι δύω κακά. τῶν τε γὰρ αὐτοῦ
χηρεύσει πολλῶν, καὶ χάρις οὐδεμία.

Εἴ τι παθὼν ἀπ' ἐμεῦ ἀγαθὸν μέγα μὴ χάριν οἴδας,
χρῄζων ἡμετέρους αὖτις ἵκοιο δύμους.

Ἔστε μὲν αὐτὸς ἔπινον ἀπὸ κρήνης μελανύδρου,
ἡδύ τί μοι ἐδόκει καὶ καλὸν εἶμεν ὕδωρ·

νῦν δ' ἤδη τέθηλεται, ὕδωρ δ' ἀναμίσγεται ὕδει.
ἄλλης δὴ κρήνης πίομαι ἢ ποταμοῦ.

Μή ποτ' ἐπαινήσῃς, πρὶν ἂν εἰδῇς ἄνδρα σαφηνῶς,
ὀργὴν καὶ ῥυθμὸν καὶ τρόπον ὅς τις ἂν ᾖ.
πολλοί τοι κίβδηλον ἐπίκλοπον ἦθος ἔχοντες,
κρύπτουσ', ἐνθέμενοι θυμὸν ἐφημέριον.
τούτων δ' ἐκφαίνει πάντως χρόνος ἦθος ἑκάστου.
καὶ γὰρ ἐγὼ γνώμης πολλὸν ἄρ' ἐκτὸς ἔβην·
ἔφθην αἰνήσας, πρίν σου κατὰ πάντα δαῆναι
ἦθεα· νῦν δ' ἤδη νηῒ σὺν ἀμφὶς ἔχω.

Τίς δ' ἀρετὴ πίνοντ' ἐπαοίνιον ἆθλον ἐλέσθαι;
πολλάκι τοι νικᾷ καὶ κακὸς ἄνδρ' ἀγαθόν.

Οὐδεὶς ἀνθρώπων, ὃν πρῶτ' ἐπὶ γαῖα καλύψῃ
εἴς τ' Ἔρεβος καταβῇ, δώματα Περσεφόνης,
τέρπεται οὔτε λύρης οὔτ' αὐλητῆρος ἀκούων,
οὔτε Διωνύσου δῶρ' ἐξαειράμενος.
ταῦτ' ἐσορῶν κραδίῃ εὖ πείσομαι, ὄφρα τ' ἐλαφρὰ
γούνατα καὶ κεφαλὴν ἄτρεμέως προφέρω.

Μή μοι ἀνὴρ εἴη γλώσσῃ φίλος, ἀλλὰ καὶ ἔργῳ·
χερσίν τε σπεύδοι χρήμασί τ', ἀμφότερα·
μηδὲ παρὰ κρητῆρσι λόγοισιν ἐμὴν φρένα θέλγοι,
ἀλλ' ἔρδων φαίνοιτ', εἴ τι δύναιτ' ἀγαθόν.

Ἡμεῖς δ' ἐν θαλίῃσι φίλον καταθώμεθα θυμόν,
ὄφρ' ἔτι τερπωλῆς ἔργ' ἐρατεινὰ φέρῃ.

αἶψα γὰρ ὥστε νόημα παρέρχεται ἀγλαὸς ἥβη·
οὐδ' ἵππων δρομὴ γίγνεται ὠκυτέρη,
αἵ τε ἄνακτα φέρουσι δορυσσόον ἐς πόνον ἀνδρῶν
λάβρως, πυρφόρῳ τερπόμεναι πτολέμῳ.

Πίν', ὁπόταν πίνωσιν. ὅταν δέ τι θυμὸν ἀσηθῇς,
μηδεὶς ἀνθρώπων γνῷ σε βαρυνόμενον.

Ἄλλοτέ τοι πάσχων ἀνίσεαι, ἄλλοτε δ' ἔρδων
χαιρήσεις. θνητοὶ ἄλλοτε ἄλλος ἀνήρ.

Εἰ θείης, Ἀκάδημε, ἐφήμερον ὕμνον ἀείδειν,
ἆθλον δ' ἐν μέσσῳ πᾶσι καλὸν ἄνθος ἔχων
σοί τ' εἴη καὶ ἐμοί, σοφίης πέρι θηρεύοντοιν·
γνοίης κόσσον ὄνων κρέσσονες ἡμίονοι.

Ἧμος δ' ἠέλιος μὲν ἐν αἰθέρι πώλυχας ἵππους
ἄρτι παραγγέλλει μέσσατον ἦμαρ ἔχων,
δειπνου δὴ λήγοιμεν, ὅπου τινὰ θυμὸς ἀνώγοι,
παντοίων ἀγαθῶν γαστρὶ χαριζόμενοι.
κέρνιβα δ' αἶψα θύραζε φέροι, στεφανώματα δ' εἴσω
εὐειδὴς ῥαδινῇς χερσὶ Λάκαινα κόρη.

Ἡ δ' ἀρετή, τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον,
κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ σοφῷ.
ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληί τε παντί τε δήμῳ,
ὅς τις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ.
Ξυνὸν δ' ἀνθρώποις ὑποθήσομαι, ὄφρα τις ἥβης
ἀγλαὸν ἄνθος ἔχων καὶ φρεσὶν ἐσθλὰ νοῇ,

τῶν αὐτοῦ κτεάνων εὖ πασχέμεν. οὐ γὰρ ἀνηβᾷν
δὶς πέλεται πρὸς θεῶν, οὐδὲ λύσις θανάτου
θνητοῖς ἀνθρώποισι. καιὸν δ' ἐπὶ γῆρας ἐπείγει
οὐλόμενον, κεφαλῆς δ' ἅπτεται ἀκροτάτης.

Ἆ μάκαρ εὐδαίμων τε καὶ ὄλβιος, ὅς τις ἄπειρος
ἄθλων εἰς Ἀίδεω δῶμα μέλαν καταβῇ,
πρίν γ' ἐχθροὺς πτῆξαι καὶ ὑπερβῆναι περ ἀνάγκῃ,
ἐξετάσαι τε φίλους, ὅν τιν' ἔχουσι νόον.

Αὐτίκα μοι κατὰ μὲν χροιὴν ῥέει ἄσπετος ἱδρώς,
πτοιοῦμαι δ' ἐσορῶν ἄνθος ὁμηλικίης
τερπνὸν ὁμῶς καὶ καλόν, ὅτεὶ πλέαν ὤφελεν εἶναι.
ἀλλ' ὀλιγοχρόνιον γίγνεται, ὥσπερ ὄναρ,
ἦβη τιμήεσσα· τὸ δ' οὐλόμενον καὶ ἄμορφον
αὐτίχ' ὑπὲρ κεφαλῆς γῆρας ὑπερπρέμαται.

Οὔ ποτε τοῖς ἐχθροῖσιν ὑπὸ ζυγὸν αὐχένα θήσω
δύσλοφον, οὐδ' εἴ μοι Τμῶλος ἔπεστι κάρη.

Δειλοί τοι κακότητι ματαιότεροι νόον εἰσίν,
τῶν δ' ἀγαθῶν αἰεὶ πρήξιες ἰθύτεραι.

Ῥηϊδίη τοι πρῆξις ἐν ἀνθρώποισι κακέσθαι·
τοῦ δ' ἀγαθοῦ χαλεπὴ, Κύρνε, πέλει παλάμη.

Τόλμα, θυμέ, κακοῖσιν, ὅμως ἄπλητα πεπονθώς·
θειλῶν τοι κραδίη γίγνεται ὀξυτέρη.

μηδὲ σύ γ' ἀπρήκτοισιν ἐπ' ἔργμασιν ἄλγος ἀέξων
ἔχθει, μηδ' ἄχθου, μηδὲ φίλους ἄνία,
μηδ' ἐχθροὺς εὔφραινε. θεῶν δ' εἱμαρμένα δῶρα
οὐκ ἂν ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι,
οὔτ' ἂν πορφυρέης καταδὺς ἐς πυθμένα λίμνης,
οὔθ' ὅταν αὐτὸν ἔχῃ Τάρταρος ἠερόεις.

Ἄνδρα τοί ἐστ' ἀγαθὸν χαλεπώτατον ἐξαπατῆσαι,
ὡς ἐν ἐμῇ γνώμῃ, Κύρνε, πάλαι κέκριται.

Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵ τινες οἶνον
μὴ πίνουσ' ἄστρου καὶ κυνὸς ἀρχομένου.

Δεῦρο σὺν αὐλητῆρι παρὰ κλαίοντι γελῶντες
πίνωμεν, κείνου κήδεσι τερπόμενοι.

Εὔδωμεν. φυλακὴ δὲ πόλευς φυλάκεσσι μελήσει
ἀστυφέλης ἑρατῆς πατρίδος ἡμετέρης.

Ναὶ μὰ Δί', εἴ τις τῶνδε καὶ ἐγκεκαλυμμένος εὕδει,
ἡμέτερον κῶμον δέξεται ἁρπαλέως.

Νῦν μὲν πίνοντες τερπώμεθα, καλὰ λέγοντες·
ἅσσα δ' ἔπειτ' ἔσται, ταῦτα θεοῖσι μέλει.

Σοὶ δέ τοι, οἷά τε παιδὶ πατὴρ, ὑποθήσομαι αὐτὸς
ἐσθλά· σὺ δ' ἐν θυμῷ καὶ φρεσὶ ταῦτα βάλευ.

Μή ποτ' ἐπειγόμενος πρήξῃς κακόν, ἀλλὰ βαθείῃ
σῇ φρενὶ βούλευσαι σῷ ἀγαθῷ τε νόῳ.

τῶν γὰρ μαινομένων πέτεται θυμός τε νόος τε,
βουλὴ δ' εἰς ἀγαθὸν καὶ νόον ἐσθλὸν ἄγει.

Ἀλλὰ λόγον μὲν τοῦτον ἐάσομεν, αὐτὰρ ἐμοὶ σὺ
αὖλει, καὶ Μουσῶν μνησόμεθ' ἀμφότεροι.
αὗται γὰρ τάδ' ἔδωκαν ἔχειν κεχαρισμένα δῶρα
σοὶ καὶ ἐμοὶ καὶ μὴν ἀμφιπεριπτίοσιν.

Τιμαγόρα, πολλῶν ὀργὴν ἀπάτερθεν ὁρῶντι
γιγνώσκειν χαλεπὸν, καί περ ἐόντι σοφῷ.
οἱ μὲν γὰρ κακότητα κατακρύψαντες ἔχουσιν
πλούτῳ, τοὶ δ' ἀρετὴν οὐλομένῃ πενίῃ.

Ἐν δ' ἥβῃ πάρα μὲν ξὺν ὁμήλικι πάννυχον εὕδειν,
ἱμερτῶν ἔργων ἐξ ἔρον ἱέμενον·
ἔστι δὲ κωμάζοντα μετ' αὐλητῆρος ἀείδειν.
τούτων οὐδέν τοι ἀλλ' ἔπι τερπνότερον
ἀνδράσιν ἠδὲ γυναιξί· τί μοι πλοῦτός τε καὶ αἰδώς;
τερπωλὴ νικᾷ πάντα σὺν εὐφροσύνῃ.

Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵ τε θανόντας
κλαίουσ', οὐδ' ἥβης ἄνθος ἀπολλύμενον.

Κύρνε, φίλους πρὸς πάντας ἐπίστρεφε ποικίλον ἦθος
συμμίσγων ὀργὴν οἷος ἕκαστος ἔφυ.
νῦν μὲν τῷδ' ἐφέπου, τοτὲ δ' ἀλλοίῳ πέλευ ὀργήν·
κρεῖσσόν τοι σοφίη καὶ μεγάλης ἀρετῆς.

Πρήγματος ἀπρήκτου χαλεπώτατόν ἐστι τελευτὴν
γνῶναι, ὅπως μέλλει τοῦτο θεὸς τελέσαι.

ὄρφνη γὰρ τέτακται· πρὸ δὲ τοῦ μέλλοντας ἔασθαι
οὐ ξυνετὰ θνητοῖς πείρατ' ἀμηχανίης.

Οὐδένα τῶν ἐχθρῶν μεμήσομαι ἐσθλὰ ἐόντα,
οὐδὲ μὲν αἰνήσω δειλὰ ἐόντα φίλον.

Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
ὕβριστὴν, χαλεπῆς ἡγεμόνα στάσιος.

Οὕτω χρὴ τάν χ' ἐσθλὰν ἐπιστρέψαντες νόημα
ἔμπεδον αἰὲν ἔχειν ἐς τέλος ἀνδρὶ φίλῳ.

Δήμων ἀξιοῖ δὲ πολλὰ φέρειν βαρύ, οὐ γὰρ ἐπίστη
τοῦθ' ἕρδειν, ὅ τί σοι μὴ καταθύμιον ᾖ.

Κάστορ καὶ Πολύδευκες, οἳ ἐν Λακεδαίμονι δίῃ
ναίετ' ἐπ' Εὐρώτᾳ καλλιρόῳ ποταμῷ,
εἴ ποτε βουλεύσαιμι φίλοι κακόν, αὐτὸς ἔχοιμι·
εἰ δέ τι κεῖνος ἐμοὶ, δὶς τόσον αὐτὸς ἔχοι.

Ἀργαλέως μοι θυμὸς ἔχει περὶ σῆς φιλότητος·
οὔτε γὰρ ἐχθαίρειν οὔτε φιλεῖν δύναμαι,
γιγνώσκων χαλεπὸν μὲν, ὅταν φίλος ἀνδρὶ γένηται,
ἐχθαίρειν, χαλεπὸν δ' οὐκ ἐθέλοντα φιλεῖν.
σκέπτεο δὴ νῦν ἄλλον· ἐμοί γε μὲν οὔ τις ἀνάγκη
τοῦθ' ἕρδειν. τῶν μοι πρόσθε χάριν τίθεσο.

Ἤδη καὶ πτερύγεσσιν ἐπαίρομαι, ὥστε πετεινὸν
ἐκ λίμνης μεγάλης, ἄνδρα κακὸν προφυγών,

βρόχον ἀποῤῥήξας. σὺ δ' ἐρῇς φιλότητος ὑμαρτὸν,
ὕστερον ἡμετέρην γνώσῃ ἐπιφροσύνην.

Ὅς τίς σοι βούλευσεν ἐμεῦ πάρι, καί σ' ἐκέλευσεν
οἴχεσθαι προλιπόνθ' ἡμετέρην φιλίην.

Τβρις καὶ Μάγνητας ἀπώλεσα καὶ Καλοφῶνα
καὶ Σμύρνην. πάντας, Κύρνε, καὶ ὔμμ' ἀπολεῖ.

Εἰς βάσανον δ' ἐλθὼν, παρατριβόμενός τε μολίβδῳ,
χρυσὸς ἄπαρθος ἐὼν, καλὸς ἅπασιν ἔσῃ.

Ὤ μοι ἐγὼ δειλός! καὶ δὴ κατάχαρμα μὲν ἐχθροῖς,
τοῖς δὲ φίλοισι πόνος, δεινὰ παθὼν, γενόμην.

Κύρν', οἱ πρόσθ' ἀγαθοὶ νῦν αὖ κακοὶ, οἱ δὲ κακοὶ πρὶν
νῦν ἀγαθοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν,
τοὺς ἀγαθοὺς μὲν ἀτιμοτέρους, κακίους δὲ λαχόντας
τιμῆς; μνηστεύει δ' ἐκ κακοῦ ἐσθλὸς ἀνήρ.
ἀλλήλους δ' ἀπατῶντες ἐπ' ἀλλήλοισι γελῶσιν,
οὔτ' ἀγαθῶν μνήμην εἰδότες οὔτε κακῶν.

Χρήματ' ἔχων πενίην μ' ὠνείδισας. ἀλλὰ τὰ μέν μοι
ἔστι, τὰ δ' ἔρχομαι θεοῖσιν ἐπευξάμενος.

Πλοῦτε, θεῶν κάλλιστε καὶ ἱμεροέστατε πάντων,
σὺν σοὶ καὶ κακὸς ὢν γίγνεται ἐσθλὸς ἀνήρ.

Ἥβης μέτρον ἔχοιμι, φιλοῖ δέ με Φοῖβος Ἀπόλλων
Λητοίδης καὶ Ζεὺς, ἀθανάτων βασιλεύς,
ὄφρα βίον ζώοιμι κακῶν ἔκτοσθεν ἁπάντων,
ἥβῃ καὶ πλούτῳ θυμὸν ἰαινόμενος.

Μή με κακῶν μίμνησκε. πέπονθά τοι οἷά τ' Ὀδυσσεὺς,
ὅς τ' Ἀΐδεω μέγα δῶμ' ἦλυθεν ἐξανιών,
ὃς δὴ καὶ μνηστῆρας ἀνείλετο νηλεῖ χαλκῷ
Πηνελόπης ἔμφρων, κουριδίης ἀλόχου,
ἣ μιν δήθ' ὑπέμεινε, φίλῳ παρὰ παιδὶ μένουσα,
ὄφρα τε γῆς ἐπέβη δειμαλέους τε μυχούς.

Ἐμπίομαι, πενίης θυμοφθόρου οὐ μελεδαίνων,
οὐδ' ἀνδρῶν ἐχθρῶν, οἵ με λέγουσι κακῶς.

Ἀλλ' ἦβην ἐρατὴν ὀλοφύρομαι, ἣ μ' ἐπιλείπει,
κλαίω δ' ἀργαλέον γῆρας ἐπερχόμενον.

Κύρνε, παροῦσι φίλοισι κακοῦ καταπαύσομεν ἀρχήν,
ζητῶμεν δ' ἔλκει φάρμακα φυομένῳ.

Ἐλπὶς ἐν ἀνθρώποισι μόνη θεὸς ἐσθλὴ ἔνεστιν,
ἄλλοι δ' Οὔλυμπόνδ' ἐκπρολιπόντες ἔβαν.
ᾤχετο μὲν Πίστις, μεγάλη θεός· ᾤχετο δ' ἀνδρῶν
Σωφροσύνη· Χάριτες τ', ὦ φίλε, γῆν ἔλιπον.
ὅρκοι δ' οὐκέτι πιστοὶ ἐν ἀνθρώποισι δίκαιοι,
οὐδὲ θεοὺς οὐδεὶς ἅζεται ἀθανάτους.
εὐσεβέων δ' ἀνδρῶν γένος ἔφθιτο, οὐδὲ θέμιστας
οὐκέτι γιγνώσκουσ' οὐδὲ μὲν εὐσεβίας.

ἀλλ' ὄφρα τις ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
εὐσεβίων περὶ θεοὺς, Ἐλπίδα προσμενέτω·
εὐχέσθω δὲ θεοῖσι, καὶ ἀγλαὰ μηρία καίων,
Ἐλπίδι τε πρώτῃ καὶ πυμάτῃ θυέτω.
φραζέσθω δ' ἀθίκτων ἀνδρῶν σκολιὸν λόγον αἰεί,
οἳ θεῶν ἀθανάτων μηδὲν ὀπιζόμενοι
αἰὲν ἐπ' ἀλλοτρίοις κτεάνοις ἐπέχουσι νόημα,
αἰσχρὰ κακοῖς ἔργοις σύμβολα θηκάμενοι.

Μή ποτε τὸν παρεόντα μεθεὶς φίλον, ἄλλον ἐρεύνα,
δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.

Εἴη μοι πλουτεῦντι κακῶν ἀπάτερθε μεριμνέων
ζώειν ἀβλαβέως, μηδὲν ἔχοντι κακόν.

Οὐκ ἔραμαι πλουτεῖν οὐδ' εὔχομαι, ἀλλά μοι εἴη
ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

Πλοῦτος καὶ σοφίη θνητοῖς ἀμαχώτατον αἰεί·
οὔτε γὰρ ἂν πλούτου θυμὸν ὑπερπορέσαις,
ὡς δ' αὖτως σοφίην ὁ σοφώτατος οὐκ ἀποφεύγει,
ἀλλ' ἔραται, θυμὸν δ' οὐ δύναται τελέσαι.

Οὐδένα θησαυρὸν καταθήσειν παισὶν ἄμεινον·
αἰτοῦσιν δ' ἀγαθοῖς ἀνδράσι, Κύρνε, δίδου.

Ὀφθαλμοὶ καὶ γλῶσσα καὶ οὖατα καὶ νόος ἀνδρῶν
ἐν μέσσῳ στηθέων ἐν συνετοῖς φύεται.

Τοῖς ἀγαθοῖς σύμμισγε, κακοῖσι δὲ μή ποθ' ὁμάρτει,
εὖτ' ἂν ὁδοῦ τελέῃς τέρματ' ἐπ' ἐμπορίην.

Τῶν ἀγαθῶν ἀγαθὴ μὲν ἀπόκρισις, ἐσθλὰ δὲ ἔργα
τῶν δὲ κακῶν ἄνεμοι δειλὰ φέρουσιν ἔπη.

Ἐκ καχεταιρίης κακὰ γίγνεται. εὖ δὲ καὶ αὐτὸς
γνώσῃ, ἐπεὶ μεγάλους ἥλικες ἀθανάτους.

Γνώμην, Κύρνε, θεοὶ θνητοῖσι διδοῦσιν ἀρίστην·
ἀνθρώπου γνώμη πείρατα παντὸς ἔχει.
ὦ μάκαρ, ὅς τις δή μιν ἔχει φρεσίν. ἢ πολὺ κρείσσων
ὕβριος οὐλομένης λευγαλέου τε κόρου
ἔστι. κακὸν δὲ βροτοῖσι κόρος, τῶν οὔ τι κάκιον·
πᾶσα γὰρ ἐκ τούτων, Κύρνε, πέλει κακότης.

Εἶθ' εἴης ἔργων αἰσχρῶν ἀπαθὴς καὶ ἀεργός,
Κύρνε! μεγίστην κεν πεῖραν ἔχοις ἀρετῆς.

Κύρνε, θεοὺς αἰδοῦ καὶ δείδιθι. τοῦτο γὰρ ἄνδρα
εἴργει μήθ' ἔρδειν μήτε λέγειν ἀσεβῆ.

Δημοφάγον δὲ τύραννον, ὅπως ἐθέλεις, κατακλῖναι
οὐ νέμεσις πρὸς θεῶν γίγνεται οὐδεμία.

Νοῦς ἀγαθὸς καὶ γλῶσσα, τά τ' ἐν παύροισι πέφυκεν
ἀνδράσιν, οἳ τούτων ἀμφοτέρων ταμίαι.

Οὐδένα, Κύρν', αὐγαὶ φαεσιμβρότου ἠελίοιο
ἄνδρ' ἐφορῶσ', ᾧ μὴ μῶμος ἐπικρέμαται.

Οὔ τις ἄποινα διδοὺς θάνατον φύγοι, οὐδὲ βαρεῖαν
δυστυχίην, εἰ μὴ μοῖρ' ἐπὶ τέρμα βάλοι.
οὐδ' ἂν δυσφροσύνας, ὅτε δὴ θεὸς ἄλγεα πέμπει,
θνητὸς ἀνὴρ δώροις βουλόμενος προφύγοι.

Οὐκ ἔραμαι κλισμῷ βασιληΐῳ ἐγκατακεῖσθαι
τεθνεὼς, ἀλλά τί μοι ζῶντι γένοιτ' ἀγαθόν.
ἀσπάλαθοί γε τάπησιν ὁμοῖον στρῶμα θανόντι·
τὸ ξύλον ἢ σκληρὸν γίγνεται ἢ μαλακόν.

Μή τι θεοὺς ἐπίορκον ἐπόμνυθι· οὐ γὰρ ἀνεκτὸν
ἀθανάτους κρύψαι χρεῖος ὀφειλόμενον.

Ὄρνιθος φωνὴν, Πολυπαίδη, ὀξὺ βοώσης
ἤκουσ', ἣ τε βροτοῖς ἄγγελος ἦλθ' ἀρότου
ὡραίου· καί μοι κραδίην ἐπάταξε μέλαιναν,
ὅττι μοι εὐανθεῖς ἄλλοι ἔχουσιν ἀγρούς,
οὐδέ μοι ἡμίονοι κύφων' ἕλκουσιν ἀρότρου,
τῆς ἄλλης μνηστῆς εἵνεκα ναυτιλίης.

Οὐκ εἰμ', οὐδ' ὑπ' ἐμοῦ κεκλήσεται, οὐδ' ἐπὶ τύμβῳ
οἰμωχθεὶς ὑπὸ γῆν εἶσι τύραννος ἀνήρ.
οὐδ' ἂν ἐκεῖνος ἐμοῦ τεθνηότος οὔτ' ἀνιῷτο,
οὔτε κατὰ βλεφάρων θερμὰ βάλοι δάκρυα.

Οὔ τέ σε κωμάζειν ἀπερύκομεν, οὔ τε καλοῦμεν·
ἀργαλέος γὰρ ἐὼν, καὶ φίλος, εὖτ' ἂν ἅπῃς

Αἴθων μὲν γένος εἰμὶ, πόλιν δ' εὐτείχεα Θήβην
οἰκῶ, πατρώας γῆς ἀπερυκόμενος.

Μή μ' ἀφελῶς παίζουσα φίλους δένναζε τοκῆας,
Ἄργυρι. σοὶ μὲν γὰρ δούλιον ἦμαρ ἔπι,
ἡμῖν δ' ἄλλα μέν ἐστι, γύναι, κακὰ πόλλ', ἐπεὶ ἐκ γῆ
φεύγομεν, ἀργαλέη δ' οὐκ ἔπι δουλοσύνη,
οὐδ' ἡμᾶς περνᾶσι· πόλις γε μέν ἐστι καὶ ἡμῖν
καλὴ, Ληθαίῳ κεκλιμένη πεδίῳ.

Μή ποτε πὰρ κλαίοντα καθεζόμενοι γελάσωμεν,
τοῖς αὐτῶν ἀγαθοῖς, Κύρν', ἐπιτερπόμενοι.

Ἐχθρὸν μὲν χαλεπὸν καὶ δυςμενῆ ἐξαπατῆσαι,
Κύρνε· φίλον δὲ φίλῳ ῥᾴδιον ἐξαπατᾶν.

Πολλὰ φέρειν εἴωθε λόγος θνητοῖσι βροτοῖσιν
πταίσματα, τῆς γνώμης, Κύρνε, ταρασσομένης

Οὐδὲν, Κύρν', ὀργῆς ἀδικώτερον, ἣ τὸν ἔχοντα
πημαίνει, θυμῷ δειλὰ χαριζομένη.

Οὐδὲν, Κύρν', ἀγαθῆς γλυκερώτερόν ἐστι γυναικός
μάρτυς ἐγὼ, σὺ δ' ἐμοὶ γίγνου ἀληθοσύνης.
Ἀληθείη δὲ παρέστω
σοὶ καὶ ἐμοὶ, πάντων χρῆμα δικαιότατον.

Ἤδη γάρ με κέκληκε θαλάσσιος οἴκαδε νεκρὸς,
τεθνηκὼς ζωῷ φθεγγόμενος στόματι.

Σχέτλι' Ἔρως, μανίαι σ' ἐτιθηνήσαντο λαβοῦσαι.
ἐκ σέθεν ὤλετο μὲν Ἰλίου ἀκρόπολις,

ὤλετο δ' Αἰγείδης Θησεὺς μέγας, ὤλετο δ' Αἴας,
ἐσθλὸς Ὀϊλιάδης, σῆσιν ἀτασθαλίαις.

Ὦ παῖ, ἄκουσον ἐμεῦ, δαμάσας φρένας. οὔ τοι ἀπειθὴ
μῦθον ἐρῶ τῇ σῇ καρδίῃ, οὐδ' ἄχαριν.
ἀλλὰ τλῆθι νόῳ συνιδεῖν ἔπος. οὔ τοι ἀνάγκη
τοῦθ' ἕρδειν ὅ τί σοι μὴ καταθύμιον ᾖ.

Πολλάκι τοι παρ' ἐμοὶ κατὰ σοῦ λέξουσι μάταια,
καὶ παρὰ σοὶ κατ' ἐμοῦ. τῶν δὲ σὺ μὴ ξύνιε.

Χαιρήσεις τῇ πρόσθε παροιχομένῃ φιλότητι,
τῆς δὲ παρερχομένης οὐκέτ' ἔσῃ ταμίης.

Δὴν δὴ καὶ φίλοι ὦμεν· ἔπειτ' ἄλλοισιν ὁμιλεῖν,
ἦθος ἔχων ὀλίιον, πίστεος ἀντίτυπον.

Οὔ ποθ' ὕδωρ καὶ πῦρ συμμίξεται· οὐδέ ποθ' ἡμεῖς
πιστοὶ ἐπ' ἀλλήλοις καὶ φίλοι ἐσσόμεθα.

Φρόντισον ἔχθος ἐμὸν καὶ ὑπέρβασιν· ἴσθι δὲ θυμῷ
ὥς σ' ἐφ' ἁμαρτολῇ τίσομαι, ὡς δύναμαι.

Παῖ, σὺ μὲν αὖτως ἵππος, ἐπεὶ κριθῶν ἐκορέσθης,
αὖθις ἐπὶ σταθμοὺς ἦλυθες ἡμετέρους,
ἡνίοχόν τε ποθῶν ἀγαθὸν λειμῶνά τε καλὸν,
κρήνην τε ψυχρὴν, ἄλσεά τε σκιερά.
Ὄλβιος ᾧ παῖδές τε φίλοι καὶ μώνυχες ἵπποι
θῆρευταί τε κύνες καὶ ξένοι ἀλλοδαποί.

Ὅς τις μὴ παῖδάς τε φιλεῖ καὶ μώνυχας ἵππους
καὶ κύνας, οὔ ποτέ οἱ θυμὸς ἐν εὐφροσύνῃ.

Ὦ παῖ, κινδύνοισι πολυπλάγκτοισιν ὁμοῖος
ὀργὴν, ἄλλοτε τοῖς, ἄλλοτε τοῖσι φιλεῖν.

Ὦ παῖ, τὴν μορφὴν μὲν ἔφυς καλὸς, ἀλλ' ἐπίκειται
καρτερὸς ἀγνώμων σῇ κεφαλῇ στέφανος·
ἰκτίνου γάρ ἔχεις ἀγχιστρόφου ἐν φρεσὶν ἦθος,
δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.

Ὦ παῖ, ὃς εὖ ἔρδοντι κακὴν ἀπέδωκας ἀμοιβήν,
οὐδέ τις ἀντ' ἀγαθῶν ἐστὶ χάρις παρὰ σοί·
οὐδέν πώ μ' ὤνησας· ἐγὼ δὲ σὲ πολλάκις ἤδη
εὖ ἔρδων αἰδοῦς οὐδεμιῆς ἔτυχον.

Παῖς τε καὶ ἵππος ὁμοῖον ἔχει νόον. οὔτε γὰρ ἵππος
ἡνίοχον κλαίει κείμενον ἐν κονίῃ,
ἀλλὰ τὸν ὕστερον ἄνδρα φέρει, κριθαῖσι κορεσθείς·
ὡς δ' αὔτως καὶ παῖς τὸν παρεόντα φιλεῖ.

Ὦ παῖ, μαργοσύνης ἀπὸ μὲν νόον ἄλεσας ἐσθλὸν,
αἰσχύνη δὲ φίλοις ἡμετέροις ἐγένου,
ἄμμε δ' ἀνέψυξας μικρὸν χρόνον· ἐκ δὲ θυέλλῶν
ἧκά γ' ἐνωρμίσθην νυκτὸς ἐπειγόμενος.

Ὡραῖος καὶ Ἔρως ἐπιτέλλεται, ἡνίκα περ γῆ
ἄνθεσιν εἰαρινοῖς θάλλει ἀεξομένη.
τῆμος Ἔρως προλιπὼν Κύπρον, περικαλλέα νῆσον,
εἶσιν ἐπ' ἀνθρώπους, σπέρμα φέρων κατὰ γῆς.

Οὐκ ἐθέλω σε κακῶς ἔρδειν, οὐδ᾽ εἴ μοι ἄμεινον
πρὸς θεῶν ἀθανάτων ἔσσεται, ὦ καλὲ παῖ.
οὐ γὰρ ἁμαρτωλαῖσιν ἐπὶ σμικραῖσι κάθημαι,
τῶν δὲ καλῶν παίδων οὔ τις ὅ τοῦτ᾽ ἀδικῶν.

Ὦ παῖ, μή μ᾽ ἀδίκει. ἔτι σοι καταθύμιος εἶναι
βούλομαι, εὐφροσύνῃ τοῦτο συνεὶς ἀγαθῇ.
οὔ γάρ τοί με δόλῳ παρελεύσεαι οὐδ᾽ ἀπατήσεις·
νικήσας γὰρ ἔχεις τὸ πλέον ἐξοπίσω.
ἀλλά σ᾽ ἐγὼ τρώσω φεύγοντά με, ὥς ποτέ φασιν
Ἰασίου κούρην, παρθένον Ἰασίην,
ὡραίην περ ἐοῦσαν, ἀναινομένην γάμον ἀνδρῶν,
φεύγειν· ζωσαμένη δ᾽ ἔργ᾽ ἀτέλεστα τέλει,
πατρὸς νοσφισθεῖσα δόμων, ξανθὴ Ἀταλάντη·
ᾤχετο δ᾽ ὑψηλὰς ἐς κορυφὰς ὀρέων,
φεύγουσ᾽ ἱμερόεντα γάμον, χρυσῆς Ἀφροδίτης
δῶρα· τέλος δ᾽ ἔγνω καὶ μάλ᾽ ἀναινομένη.

Ὦ παῖ, μή με κακοῖσιν ἐν ἄλγεσι θυμὸν ὀρίνῃς,
μηδέ με σὴ φιλότης δώματα Περσεφόνης
οἴχηται προφέρουσα. θεῶν δ᾽ ἐποπίζεο μῆνιν,
βάξιν τ᾽ ἀνθρώπων, ἤπια νωσάμενος.

Ὦ παῖ, μέχρι τίνος με προφεύξεαι; ὥς σε διώκων
δίζημαι· ἀλλά τί μοι τέρμα γένοιτο κιχεῖν
σῆς ὀργῆς. σὺ δὲ μάργον ἔχων καὶ ἀγήνορα θυμὸν
φεύγεις, ἰκτίνου σχέτλιον ἦθος ἔχων.
ἀλλ᾽ ἐπίμεινον, ἐμοὶ δὲ δίδου χάριν. οὐκέτι δηρὸν
ἔξεις Κυπρογενοῦς δῶρον ἰοστεφάνου.

Θυμῷ γνοὺς ὅτι παιδείας πολυηράτου ἄνθος
ὠκύτερον σταδίου, τοῦτο συνιὶς χάλασον
δεσμοῦ, μή ποτε καὶ σὺ βιήσεαι, ὄβριμε παίδων,
Κυπρογενοῦς δ' ἔργων ἀντιάσεις χαλεπῶν,
ὥσπερ ἐγὼ νῦν ὧδ' ἐπὶ σοί. σὺ δὲ ταῦτα φύλαξαι,
μηδέ σε νικήσῃ παιδαΐδη κακότης.

Οὐκ ἔλαθες κλέψας, ὦ παῖ. καὶ γάρ σε δίωμαι
τούτοις οἵσπερ νῦν ἄρθμιος ἠδὲ φίλος
ἔπλευ, ἐμὴν δὲ μεθῆκας ἀτίμητον φιλότητα·
οὐ μὲν δὴ τούτοις γ' ἦσθα φίλος πρότερον.
ἀλλ' ἐγὼ ἐκ πάντων σ' ἐδόκουν θήσεσθαι ἑταῖρον
πιστόν· καὶ δὴ νῦν ἄλλον ἔχεις θαλόν.
ἀλλ' ὁ μὲν εὖ ἔρδων κεῖμαι· ἀὲ δὲ μή τις ἁπάντων
ἀνθρώπων ἐσορῶν παιδοφιλεῖν ἐθέλοι.

Ὦ παῖ, ἐπεί τοι δῶκε θεὰ χάριν ἱμερόεσσαν
Κύπρις, σὸν δ' εἶδος πᾶσι νέοισι μέλει,
τῶνδ' ἐπάκουσον ἐπῶν, καὶ ἐμὴν χάριν ἔνθεο θυμῷ
γνοὺς ἔρος ὡς χαλεπὸν γίγνεται ἀνδρὶ φέρειν.

Κυπρογενές, παῦσόν με πόνων, σκέδασον δὲ μερίμνας
θυμοβόρους, στρέψον δ' αὖθις ἐς εὐφροσύνας,
μερμήρας δ' ἀπόπαυε κακάς, δὸς δ' εὔφρονι θυμῷ
μέτρ' ἴβης τελέσαντ' ἔργματα σωφροσύνης.

Ὦ παῖ, ἕως ἂν ἔχῃς λείαν γένυν, οὔ ποτε σαῖνων
παύσομαι, οὐδ' εἴ μοι μόρσιμόν ἐστι θανεῖν.

Σοί τε διδόντ' ἔτι καλόν, ἐμοί τ' οὐκ αἰσχρὸν ἐρῶντι
αἰτεῖν. ἀλλὰ γονέων λίσσομαι ἡμετέρων·

αἰδέο μ', ὦ παῖ . . . . διδοὺς χάριν, εἴ ποτε καὶ σὺ
ἔξεις Κυπρογενοῦς δῶρον ἰοστεφάνου.

Χρηΐζων καὶ ἐπ' ἄϊλιον ἕλκυσεαι· ἀλλά σε δαίμων
δοίη τῶν αὐτῶν ἀντιτυχεῖν ἐπέων.

Ὄλβιος, ὅς τις ἐρῶν γυμνάζεται, οἶκαδε δ' ἐλθὼν
εὕδει σὺν καλῷ παιδὶ πανημέριος.

Οὐκέτ' ἐρῶ παιδός, χαλεπὰς δ' ἀπελάκτισ' ἀνίας,
μόχθους τ' ἀργαλέους ἄσμενος ἐξέφυγον,
ἐκλέλυμαι δὲ πόθου πρὸς ἐΰστεφάνου Κυθερείης·
σοὶ δ', ὦ παῖ, χάρις ἔστ' οὐδεμία πρὸς ἐμοῦ.

Αἲ αἲ, παιδὸς ἐρῶ ἁπαλόχροος, ὅς με φίλοισιν
πᾶσι μάλ' ἐκφαίνει, κοὐκ ἐθέλοντος ἐμοῦ.
τλήσομαι οὐ κρύψας ἀέκουσι πολλὰ βίαια·
οὐ γὰρ ἐπ' αἰκελίῳ παιδὶ δαμεὶς ἐφάνην.

Παιδοφιλεῖν δέ τι τερπνόν, ἐπεί ποτε καὶ Γανυμήδους
ἤρατο καὶ Κρονίδης, ἀθανάτων βασιλεύς·
ἁρπάξας δ' ἐς Ὄλυμπον ἀνήγαγε, καί μιν ἔθηκεν
δαίμονα, παιδείης ἄνθος ἔχοντ' ἐράτου.
οὕτω μὴ θαύμαζε, Σιμωνίδη, οὕνεκα κἀγὼ
ἐξεδάμην, καλοῦ παιδὸς ἔρωτι δαμείς.

Ὦ παῖ, μὴ κώμαζε, γέροντι δὲ πείθεο ἀνδρί·
οὔ τοι κωμάζειν σύμφορον ἀνδρὶ νέῳ.

Πικρὸς καὶ γλυκύς ἐστι καὶ ἁρπαλέος καὶ ἀπηνὴς,
ὄφρα τέλειος ἔῃ, Κύρνε, νέοισιν ἔρως.
ἢν μὲν γὰρ τελέσῃ, γλυκὺ γίγνεται· ἢν δὲ διώκων
μὴ τελέσῃ, πάντων τοῦτ' ἀνιηρότατον.

Αἰεὶ παιδοφίλῃσιν ἐπὶ ζυγὸν αὐχένι κεῖται
δύσμορον, ἀργαλέον μνῆμα φιλοξενίης.

Χρὴ γάρ τοι περὶ παῖδα πονούμενον εἰς φιλότητα,
ὥσπερ κληματίνῳ χεῖρα πυρὶ προσάγειν.

Ναῦς πέτρῃ προσέκυρσας, ἐμῆς φιλότητος ἁμαρτὼν,
ὦ παῖ, καὶ σαπροῦ πείσματος ἀντελάβου·
οὐδαμά σοῦ δ' ἀπεὼν θηλήσομαι· οὐδέ με πείσει
οὐδεὶς ἀνθρώπων, ὡς τέ με μή σε φιλεῖν.

Ὦ παίδων κάλλιστε καὶ ἱμεροέστατε πάντων,
στῆθ' αὐτοῦ, καί μου παῦρ' ἐπάκουσον ἔπη.

Παιδός τοι χάρις ἐστὶ, γυναικὶ δὲ πιστὸς ἑταῖρος
οὐδείς, ἀλλ' αἰεὶ τὸν παρεύντα φιλεῖ.

Παιδὸς ἔρως καλὸς μὲν ἔχειν, καλὸς δ' ἀποθέσθαι
πολλὸν δ' εὑρέσθαι ῥῆτερον ἢ τελέσαι.
μυρία δ' ἐξ αὐτοῦ κρέμαται κακά, μυρία δ' ἐσθλά·
ἀλλ' ἔν τοι ταύτῃ καί τις ἔνεστι χάρις.

Οὐδαμά πω κατέμεινας ἐμὴν χάριν, ἀλλ' ὑπὸ πᾶσαν
αἰεὶ σπουδαίην ἔρχεαι ἀγγελίην.

Ὄλβιος, ὅς τις παιδὸς ἐρῶν οὐκ οἶδε θάλασσαν,
οὐδὲ οἱ ἐν πόντῳ νὺξ ἐπιοῦσα μέλει.

Καλὸς ἐὼν κακότητι φίλων δειλοῖσιν ὁμιλεῖς
ἀνδράσι, καὶ διὰ τοῦτ' αἰσχρὸν ὄνειδος ἔχεις,
ὦ παῖ· ἐγὼ δ' ἀέκων τῆς σῆς φιλότητος ἁμαρτὼν,
ὠνήμην ἔρδων οἷά τ' ἐλεύθερος ὤν.

Ἄνθρωποί σ' ἐδόκουν χρυσῆς παρὰ δῶρον ἔχοντα
ἐλθεῖν Κυπρογενοῦς.

Κυπρογενοῦς δῶρον ἰοστεφάνου
μίγνεται ἀνθρώποισιν ἔχειν χαλεπώτατον ἄχθος,
ἂν μὴ Κυπρογενὴς δῷ λύσιν ἐκ χαλεπῶν.

Κυπρογενὲς Κυθέρεια δολοπλόκε, σοί τι περισσὸν
Ζεὺς τόδε τιμήσας δῶρον ἔδωκεν ἔχειν.
δαμνᾷς δ' ἀνθρώπων πυκινὰς φρένας. οὐδέ τίς ἐστιν
οὕτως ἔφθιμος καὶ σοφὸς ὥστε φυγεῖν.

Vid. Antiel. P. 10.

ΚΑΛΛΙΝΟΥ ΕΦΕΣΙΟΥ.

Μέχρις τεῦ κατάκεισθε; κότ' ἄλκιμον ἔξετε θυμόν,
ὦ νέοι; οὐδ' αἰδεῖσθ' ἀμφιπεριπτίονας,
ὧδε λίην μεθιέντες; ἐν εἰρήνῃ δὲ δοκεῖτε
ἧσθαι· ἀτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει.
* * * * * * * *
καί τις ἀποθνήσκων ὕστατ' ἀποντισάτω.
τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ, μάχεσθαι
γῆς πέρι, καὶ παίδων, κουριδίης τ' ἀλόχου,
δυσμενέσιν· θάνατος δὲ τότ' ἔσσεται, ὁππότε κεν δὴ
Μοῖραι ἐκπλώσωσ'· ἀλλά τις ἰθὺς ἴτω
ἔγχος ἀνασχόμενος, καὶ ὑπ' ἀσπίδος ἄλκιμον ἦτορ
ἔλσας, τὸ πρῶτον μιγνυμένου πολέμου.
οὐ γάρ κως θάνατόν γε φυγεῖν εἱμαρμένον ἐστὶν
ἄνδρ', οὐδ' ἢν προγόνων ᾖ γένος ἀθανάτων.
πολλάκι δηϊότητα φυγὼν καὶ δοῦπον ἀκόντων
ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου.
ἀλλ' ὃ μὲν οὐκ ἔμπης δήμῳ φίλος, οὐδὲ ποθεινός·
τὸν δ' ὀλίγος στενάχει καὶ μέγας, ἤν τι πάθῃ.
λαῷ γὰρ σύμπαντι πόθος κρατερόφρονος ἀνδρὸς
θνήσκοντος· ζώων δ', ἄξιος ἡμιθέων.
ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν·
ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.

ΤΥΡΤΑΙΟΥ.

I.

Τεθνάμεναι γὰρ καλὸν ἐπὶ προμάχοισι πεσόντα
ἄνδρ' ἀγαθὸν, περὶ ᾗ πατρίδι μαρνάμενον·
τὴν δ' αὖτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
πτωχεύειν, πάντων ἔστ' ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίλῃ, καὶ πατρὶ γέροντι,
παισί τε σὺν μικροῖς, κουριδίῃ τ' ἀλόχῳ.
ἔχθιστος γὰρ τοῖσι μετέσσεται, οὓς κεν ἵκηται,
χρησμοσύνῃ τ' εἴκων καὶ στυγερῇ πενίῃ·
αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,
πᾶσα δ' ἀτιμία καὶ κακότης ἕπεται.
εἰ δ' οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί' ὤρη
γίγνεται, οὔτ' αἰδὼς εἰσοπίσω τελέθει.
θυμῷ γῆς περὶ τῆσδε μαχώμεθα, καὶ περὶ παίδων
θνήσκωμεν, ψυχέων μηκέτι φειδόμενοι,
ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες,
μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε, μηδὲ φόβου.
ἀλλὰ μέγαν ποιεῖτε καὶ ἄλκιμον ἐν φρεσὶ θυμὸν,
μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι.
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκ ἔτι γούνατ' ἐλαφρὰ,
μὴ καταλείποντες φεύγετε τοὺς γεραιούς.

αἰσχρὸν γὰρ δὴ τοῦτο, μετὰ προμάχοισι πεσόντα
κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
ἤδη λευκὸν ἔχοντα κάρη, πολιόν τε γένειον,
θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίῃ,
αἱματόεντ' αἰδοῖα φίλαις ἐν χερσὶν ἔχοντα,
(αἰσχρὰ τά γ' ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν)
καὶ χρόα γυμνωθέντα. νέοισι δὲ πάντ' ἐπέοικεν·
ὄφρ' ἄρα τῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ,
ἀνδράσι μὲν θηητὸς ἰδεῖν, ἐρατός τε γυναιξὶ,
ζωὸς ἐὼν, καλὸς δ' ἐν προμάχοισι πεσών.

II.

Ἀλλ' Ἡρακλῆος γὰρ ἀνικήτου γένος ἐστέ·
θαρσεῖτ', οὔπω Ζεὺς αὐχένα λοξὸν ἔχει.
μηδ' ἀνδρῶν πληθὺν δειμαίνετε, μηδὲ φοβεῖσθε,
ἰθὺς δ' ἐς προμάχους ἀσπίδ' ἀνὴρ ἐχέτω,
ἐχθρὰν μὲν ψυχὴν θέμενος, θανάτου δὲ μελαίνας
κῆρας, ὥς αὐγαῖσιν ἠελίοιο, φίλας.
ἴστε γὰρ ὡς Ἄρεως πολυδακρύου ἔργ' ἀρίδηλα,
εὖ δ' ὀργὴν ἐδάητ' ἀργαλέου πολέμου·
καὶ πρὸς φευγόντων τε διωκόντων τ' ἐγένεσθε,
ὦ νέοι, ἀμφοτέρων δ' εἰς κόρον ἠλάσατε.
οἳ μὲν γὰρ τολμῶσι, παρ' ἀλλήλοισι μένοντες,
εἴς τ' αὐτοσχεδίην καὶ προμάχους ἰέναι,
παυρότεροι θνήσκουσι, σάουσι δὲ λαὸν ὀπίσσω·
τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀρετή.
οὐδείς κ' ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα,
ὅσσ' ἐὰν αἰσχρὰ πάθῃ, γίγνεται ἀνδρὶ κακά.

ἀργαλέον γὰρ ὄπισθε μετάφρενόν ἐστι δαΐζειν
ἀνδρὸς φεύγοντος δηΐῳ ἐν πολέμῳ.
αἰσχρὸν δ' ἔστι νέκυς κατακείμενος ἐν κονίῃσι
νῶτον ὄπισθ' αἰχμῇ δουρὸς ἐληλαμένος.
ἀλλά τις εὖ διαβὰς μενέτω, ποσὶν ἀμφοτέροισι
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακὼν,
μηρούς τε, κνήμας τε κάτω, καὶ στέρνα, καὶ ὤμους
ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος·
δεξιτερῇ δ' ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος,
κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς.
ἔρδειν δ' ὄβριμα ἔργα, διδασκέσθω πολεμίζειν,
μηδ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων.
ἀλλά τις ἐγγὺς ἰὼν, αὐτοσχεδὸν ἔγχεϊ μακρῷ
ἢ ξίφει οὐτάζων, δηΐον ἄνδρ' ἑλέτω·
καὶ πόδα πὰρ ποδὶ θείς, καὶ ἐπ' ἀσπίδος ἀσπίδ' ἐρείσας
ἐν δὲ λόφον τε λόφῳ, καὶ κυνέην κυνέῃ,
καὶ στέρνον στέρνῳ, πεπλημένος ἀνδρὶ μαχέσθω,
ἢ ξίφεος κώπην, ἢ δόρυ μακρὸν ἑλών.
ὑμεῖς δ', ὦ γυμνῆτες, ὑπ' ἀσπίδος ἄλλοθεν ἄλλο
πτώσσοντες, μεγάλοις σφάλλετε χερμαδίοις,
δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτοὺς,
τοῖσι πανοπλίταις ἐγγύθεν ἱστάμενοι.

III.

Οὔτ' ἂν μνησαίμην, οὔτ' ἐν λόγῳ ἄνδρα τιθείμην,
οὔτε ποδῶν ἀρετῆς, οὔτε παλαισμοσύνης,
οὐδ' εἰ Κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
νικώη δὲ θέων Θρηΐκιον Βορέην·

οὐδ' εἰ Τιθωνοῖο φυὴν χαριέστερος εἴη,
πλουτοίη δὲ Μίδεω καὶ Κινύρεω βάθιον,
οὐδ' εἰ Τανταλίδεω Πέλοπος βασιλεύτερος εἴη,
γλῶσσαν δ' Ἀδρήστου μειλιχόγηρυν ἔχοι.
οὐδ' εἰ πᾶσαν ἔχοι δόξαν, πλὴν θούριδος ἀλκῆς.
οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ,
εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα,
καὶ δηΐων ὀφέγοιτ' ἐγγύθεν ἱστάμενος·
ἡ δ' ἀρετή, τό γ' ἄριστον ἐν ἀνθρώποισιν ἄεθλον,
κάλλιστόν τε φέρειν γίγνεται ἠδὲ νέῳ.
ξυνὸν δ' ἐσθλὸν τοῦτο πόλει τε, παντί τε δήμῳ,
ὅς τις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ
νωλεμέως, αἰσχρῆς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται,
ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος,
θαρσύνῃ δὲ πεσεῖν τὸν πλησίον ἄνδρα παρεστώς.
οὗτος ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ·
αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας
τρηχείας, σπουδῇ τ' ἔσχεθε κῦμα μάχης.
αὐτὸς δ' ἐν προμάχοισι πεσὼν φίλον ἆλεσε θυμόν,
ἄστυ τε, καὶ λαοὺς, καὶ πατέρ' εὐκλείσας,
πολλὰ διὰ στέρνοιο, καὶ ἀσπίδος ὀμφαλοέσσης,
καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος.
τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
ἀργαλέῳ τε πόθῳ πᾶσα κέκηδε πόλις.
καὶ τύμβος, καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι,
κἀὶ παίδων παῖδες, καὶ γένος ἐξοπίσω.
οὐδέποτε κλέος ἐσθλὸν ἀπόλλυται, οὐδ' ὄνομ' αὐτοῦ·
ἀλλ' ὑπὸ γῆς περ ἐὼν γίγνεται ἀθάνατος,

ὅν τιν' ἀριστεύοντα, μένοντά τε, μαρνάμενόν τε
γῆς πέρι καὶ παίδων, θοῦρος Ἄρης ὀλέσῃ.
ἢν δὲ φύγῃ μὲν κῆρα τανηλεγέος θανάτοιο,
νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλῃ,
πάντες μιν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοὶ,
πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς Ἀΐδην.
νηράσκων δ' ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
βλάπτειν οὔτ' αἰδοῦς, οὔτε δίκης ἐθέλει·
πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι, οἵ τε κατ' αὐτὸν,
εἴκουσ' ἐκ χώρης, οἵ τε παλαιότεροι.
ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
πειράσθω θυμῷ, μὴ μεθιεὶς πόλεμον.

ΤΕΛΟΣ ΤΩΝ ΤΥΡΤΑΙΟΥ.

VII.

Δεινοὶ γὰρ ἀνδρὶ πάντες ἐμοὶ εὐκλεεῖ
ζῶντι φθονῆσαι, κατθανόντα δ' αἰνέσαι.

VIII.

Ὁποῖα δὴ φιλοῦσιν ἰατροὶ λέγειν,
τὰ φαῦλα μείζω, καὶ τὰ δεινὰ ὑπέρφοβα,
πυργοῦντες αὐτούς.

Vid. Hippocr. IX. 50.

ΤΕΛΟΣ ΤΩΝ ΜΙΜΝΕΡΜΟΥ.

ΣΟΛΩΝΟΣ ΑΘΗΝΑΙΟΥ.

I.

Πρὸς Μίμνερμον εἰπόντα,

ΞΗΚΟΝΤΑΕΤΗ ΜΟΙΡΑ ΚΙΧΟΙ ΘΑΝΑΤΟΥ.

Ἀλλ' εἴ μοι κἂν νῦν ἔτι πείσεαι, ἔξελε τοῦτο·
μηδὲ μέγαιρ', ὅτι σεῦ λώϊον ἐφρασάμην,
αὶ μεταποίησον λιγέως ταδὶ, ὧδε δ' ἄειδε·

ΟΓΔΩΚΟΝΤΑΕΤΗ ΜΟΙΡΑ ΚΙΧΟΙ ΘΑ-
ΝΑΤΟΥ.

ηδ' ἐμοὶ ἄκλαυστος θάνατος μόλοι, ἀλλὰ φίλοισι
καλλείποιμι θανὼν ἄλγεα καὶ στοναχάς.

II.

Ἔργα δὲ Κυπρογενοῦς νῦν μοι φίλα, καὶ Διονύσου,
καὶ Μουσέων, ἃ τίθησ' ἀνδράσιν εὐφροσύνας.

III.

Ὄλβιος, ᾧ παῖδές τε φίλοι, καὶ μώνυχες ἵπποι,
καὶ κύνες ἀγρευταὶ, καὶ ξένος ἀλλοδαπός.

IV.

Ἐς θ' ἥβης ἐρατοῖσιν ἐπ' ἄνθεσι παιδοφιλήσεις,
μηρῶν ἱμείρων καὶ γλυκεροῦ στόματος.

V.

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ.
ὄλβον ἐμοὶ πρὸς θεῶν μακάρων δότε, καὶ π
ἀπάντων
ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν·
εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν·
τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν.
χρήματα δ' ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπῶσθαι
οὐκ ἐθέλω. πάντως ὕστερον ἦλθε δίκη.
πλοῦτον δ' ὃν μὲν δῶσι θεοὶ, παραγίγνεται ἀνδρὶ
ἔμπεδος ἐκ νεάτου πυθμένος ἐς κορυφήν·
ὃν δ' ἄνδρες τιμῶσιν, ὑφ' ὕβριος οὐ κατὰ κόσμον
ἔρχεται· ἀλλ' ἀδίκοις ἔργμασι πειθόμενος,
οὐκ ἐθέλων ἕπεται· ταχέως δ' ἀναμίσγεται ἄτῃ.
ἀρχὴ δ' ἐξ ὀλίγου γίγνεται, ὥστε πυρὸς,
φλαύρη μὲν τὸ πρῶτον, ἀνιηρὴ δὲ τελευτᾷ.
οὐ γὰρ δὴν θνητοῖς ὕβριος ἔργα πέλει.
ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος. ἐξαπίνης δὲ
ὥστ' ἄνεμος νεφέλας αἶψα διεσκέδασεν
ἠρινὸς, ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο
πυθμένα κινήσας, γῆν κατὰ πυροφόρον
δηώσας καλὰ ἔργα, θεῶν ἕδος, αἰπὺν ἱκάνει
οὐρανὸν, αἰθρίην δ' αὖθις ἔθηκεν ἰδεῖν,
λάμπει δ' ἠελίοιο μένος κατ' ἀπείρονα γαῖαν
καλὸν, ἀτὰρ νεφέων οὐδὲν ἔτ' ἐστὶν ἰδεῖν·
τοιαύτη Ζηνὸς πέλεται τίσις, οὐδ' ἐφ' ἑκάστῳ,
ὥσπερ θνητὸς ἀνὴρ, χόλος.

κἰεὶ δ' οὔ τι λέληθε διαμπερὲς, ὅς τις ἀλιτρὸν
θυμὸν ἔχει· πάντως δ' ἐς τέλος ἐξεφάνη.
ἀλλ' ὁ μὲν αὐτίκ' ἔτισεν, ὁ δ' ὕστερον· ἢν δὲ φυγωσὶν
αὐτοὶ, μηδὲ θεῶν Μοῖρ' ἐπιοῦσα κίχῃ,
ἦλυθε πάντως. αὖτις ἀναίτιοι ἔργα τίνουσιν
ἢ παῖδες τούτων, ἢ γένος ἐξοπίσω.
θνητοὶ δ' ὧδε νοεῦμεν, ὁμῶς ἀγαθός τε κακός τε·
ἐσθλὴν δ' εἷς αὐτοῦ δόξαν ἕκαστος ἔχει,
πρίν τι παθεῖν· τότε δ' αὖτις ὀδύρεται ἄχρι δὲ τούτου
χάσκοντες, κούφαις ἐλπίσι τερπόμεθα.
ὃς ὅστις μὲν νούσοισιν ὑπ' ἀργαλέῃς ἐπιέσθη,
ὡς ὑγιὴς ἔσται, τοῦτο κατεφράσατο.
ἄλλος δειλὸς ἐὼν, ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνὴρ,
καὶ καλὸς, μορφὴν οὐ χαρίεσσαν ἔχων.
εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται,
κτήσασθαι πάντως χρήματα πολλὰ δοκεῖ.
σπεύδει δ' ἄλλοθεν ἄλλος. ὁ μὲν κατὰ πόντον ἐλᾶται
ἐν νηυσὶ, χρῄζων οἶκαδε κέρδος ἄγειν,
ἰχθυόεντ', ἀνέμοισι φορεύμενος ἀργαλέοισι,
φειδωλὴν ψυχῆς οὐδεμίην θέμενος.
ἄλλος γῆν τέμνων πολυδένδρεον, εἰς ἐνιαυτὸν
λατρεύει, τοῖσι καμπύλ' ἄροτρα μέλει.
ἄλλος Ἀθηναίης τε καὶ Ἡφαίστου πολυτέχνεω
ἔργα δαεὶς, χειροῖν ξυλλέγεται βίοτον.
ἄλλος Ὀλυμπιάδων Μουσέων πάρα δῶρα διδάχθη,
ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος.

ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος Ἀπόλλων·
ἔγνω δ' ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον,
ᾧ συνομαρτήσουαι θεοί· τὰ δὲ μόρσιμα πάντως
οὔτε τις οἰωνὸς φύσεται, οὔθ' ἱερά,
οὔθ' οἱ Παιῶνος πολυφαρμάκου ἔργον ἔχοντες
ἰητροὶ, καὶ τοῖς οὐδὲν ἔπεστι τέλος.
πολλάκι δ' ἐξ ὀλίγης ὀδύνης μέγα γίγνεται ἄλγος,
κοὐκ ἄν τις λύσαι ἤπια φάρμακα δοὺς·
τὸν δὲ κακαῖς νούσοισι κυκώμενον ἀργαλέαις τε
ἅψάμενος χειροῖν, αἶψα τίθησ' ὑγιῆ.
Μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει, ἠδὲ καὶ ἐσθλόν
δῶρα δ' ἄφυκτα θεῶν γίγνεται ἀθανάτων.
πᾶσι δέ τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδε
ποῖ σχήσειν μέλλει, χρήματος ἀρχομένου.
ἀλλ' ὁ μὲν εὐδοκιμεῖν πειρώμενος, οὐ προνοήσας,
ἐς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσε·
τῷ δὲ καλῶς ἔρδοντι θεὸς περὶ πάντα τίθησι
συντυχίην ἀγαθὴν, ἔκλυσιν ἀφροσύνης.
πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνθρώποισιν·
οἳ γὰρ νῦν ἡμέων πλεῖστον ἔχουσι βίον,
διπλάσιον σπεύδουσι· τίς ἂν κορέσειεν ἅπαντας;
κέρδεά τοι θνητοῖς ὤπασαν ἀθάνατοι·
ἄτη δ' ἐξ αὐτῶν ἀναφαίνεται, ἣν ὁπόταν Ζεὺς
πέμψῃ τισομένην, ἄλλοτέ κ' ἄλλος ἔχει.

VI.

Οὐδὲ μάκαρ οὐδεὶς πέλεται βροτός· ἀλλὰ πόνηροι
πάντες, ὅσους θνητοὺς ἠέλιος καθορᾷ.

VII.

Ἔργμασιν ἐν μεγάλοις πᾶσιν ὀδεῖν χαλεπόν.

VIII.

Γνωμοσύνης δ' ἀφανὲς χαλεπώτατόν ἐστι νοῆσαι
μέτρον, ὃ δὴ πάντων πείρατα μοῦνον ἔχει.

IX.

Γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος.

X.

Πάμπαν δ' ἀθανάτων ἄφαντος νόος ἀνθρώποισι.

XI.

Τίκτει γὰρ κόρος ὕβριν, ὅταν πολὺς ὄλβος ἕπηται.

XII.

Ἰσόν τοι πλουτοῦσιν, ὅτῳ πολὺς ἄργυρός ἐστι
καὶ χρυσὸς, καὶ γῆς πυροφόρου πεδία,
ἵπποι θ', ἡμίονοί τε, καὶ ᾧ μόνα ταῦτα πάρεστι,
γαστρί τε καὶ πλευρῇς καὶ ποσὶν ἅβρὰ παθεῖν,
παῖδές τ' ἠδὲ γυναῖκες· ὅταν δέ γε τῶνδ' ἐφίκηται
ὥρη, ἐν δ' ἤβη γίγνεται ἁρμοδία,
ταῦτ' ἄφενος θνητοῖσι. τὰ γὰρ περιώσια πάντα
χρήματ' ἔχων οὐδεὶς ἔρχεται εἰς Ἀίδην.
οὐδ' ἂν ἄποινα δίδοὺς θάνατόν φύγοι, οὐδὲ βαρείας
νούσους, οὐδὲ κακὸν γῆρας ἐπερχόμενον.

XIII.

Πολλοὶ μὲν πλουτοῦσι κακοὶ, ἀγαθοὶ δὲ πένονται,
ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεὶ,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

XIV.

Παῖς μὲν ἄνηβος ἐὼν ἔτι νήπιος ἕρκος ὀδόντων
φύσας, ἐκβάλλει πρῶτον ἐν ἑπτ' ἔτεσι.
τοὺς δ' ἑτέρους ὅτε δὴ τελέσει θεὸς ἑπτ' ἐνιαυτοὺς,
ἥβης ἐκφαίνει σήματα γιγνομένης.
τῇ τριτάτῃ δὲ γένειον ἀεξομένων ἐπὶ γυίων
λαχνοῦται, χροιῆς ἄνθος ἀμειβομένης.
τῇ δὲ τετάρτῃ πᾶς τις ἐν ἑβδομάδ' ἐστὶν ἄριστος
ἰσχὺν, οἵ τ' ἄνδρες σήματ' ἔχουσ' ἀρετῆς.
πέμπτῃ δ' ὥριον ἄνδρα γάμου μεμνημένον εἶναι,
καὶ παίδων ζητεῖν εἰσοπίσω γενεήν.
τῇ δ' ἕκτῃ περὶ πάντα καταρτύεται νόος ἀνδρὸς,
οὐδ' ἔρδειν ἔθ' ὁμῶς ἔργ' ἀπάλαμνα θέλει.
ἑπτὰ δὲ νοῦν καὶ γλῶσσαν ἐν ἑβδομάσι μέγ' ἄριστος,
ὀκτὼ τ' · ἀμφοτέρων τέσσαρα καὶ δέκ' ἔτη.
τῇ δ' ἐνάτῃ δύναται μὲν ἔτι, μαλακώτερα δ' αὐτοῦ,
πρὸς μεγάλην ἀρετὴν σώματι καὶ σοφίῃ.
τῇ δεκάτῃ δ', ὅτε δὴ τελέσει θεὸς ἑπτ' ἐνιαυτοὺς,
οὐκ ἂν ἄνωρος ἐὼν μοῖραν ἔχοι θανάτου.

XV.

Ἡμετέρη δὲ πόλις κατὰ μὲν Διὸς οὔ ποτ' ὀλεῖται
αἶσαν, καὶ μακάρων θεῶν φρένας ἀθανάτων.

τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη
Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει.
αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν
ἀστοὶ βούλονται, χρήμασι πειθόμενοι,
δήμου θ' ἡγεμόνων ἄδικος νόος, οἷσιν ἑτοῖμον
ὕβριος ἐκ μεγάλης ἄλγεα πολλὰ παθεῖν.
οὐ γὰρ ἐπίστανται κατέχειν κόρον, οὐδὲ παρούσας
εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ.
- - - - - - - -
πλουτοῦσιν δ' ἀδίκοις ἔργμασι πειθόμενοι.
- - - - - - - -
οὔθ' ἱερῶν κτεάνων, οὔτε τι δημοσίων
φειδόμενοι, κλέπτουσιν ἐφ' ἁρπαγῇ ἄλλοθεν ἄλλος,
οὐδὲ φυλάσσονται σεμνὰ Δίκης θέμεθλα,
ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα, πρό τ' ἐόντα·
τῷ δὲ χρόνῳ πάντως ἦλθ' ἀποτισομένη.
ταύτῃ τοι πάσῃ πόλει ἔρχεται ἕλκος ἄφυκτον,
εἰς δὲ κακὴν ταχέως ἦλυθε δουλοσύνην,
ἥ στάσιν ἔμφυλον, πόλεμόν θ' εὕδοντ' ἐπεγείρει,
ὃς πολλῶν ἑρατὴν ὤλεσεν ἡλικίην.
ἐκ γὰρ δυσμενέων ταχέως πολυήρατον ἄστυ
τρύχεται ἐν συνόδοις τοῖς ἀδικοῦσι φίλοις.
ταῦτα μὲν ἐν δήμῳ στρέφεται κακά· τῶν δὲ πενιχρῶν
ἵκνοῦνται πολλοὶ γαῖαν ἐς ἀλλοδαπήν,
πραθέντες, δεσμοῖσί τ' ἀεικελίοισι δεθέντες.
- - - - - -
οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ·
αὐλείοι δ' ἔτ' ἔχειν οὐκ ἐθέλουσι θύραι·

ὕψηλόν δ' ὑπὲρ ἔρκος ὑπέρθορεν, εὗρε δὲ πάντας,
εἴ κέ τις ἢ φεύγων ἐν μυχῷ ἢ θαλάμῳ.
ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,
ὡς κακὰ πολλὰ πόλει δυσνομία παρέχει·
εὐνομία δ' εὔκοσμα καὶ ἄρτια πάντ' ἀποφαίνει,
καὶ θαμά τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας,
τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ,
αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα,
εὐθύνει δὲ δίκας σκολιὰς, ὑπερήφανά τ' ἔργα
πραΰνει, παύει δ' ἔργα διχοστασίης,
παύει δ' ἀργαλέης ἔριδος χόλον· ἔστι δ' ὑπ' αὐτῆς
πάντα κατ' ἀνθρώπους ἄρτια καὶ πινυτά.

XVI.

Αὐτὸς κήρυξ ἦλθον ἀφ' ἱμερτῆς Σαλαμῖνος
κόσμον ἐπέων ᾠδὴν ἀντ' ἀγορῆς θέμενος.
* * * * * *
εἴην δὴ τότ' ἐγὼ Φολεγάνδριος, ἢ Σικινίτης
ἀντί γ' Ἀθηναίου, πατρίδ' ἀμειψάμενος.
αἶψα γὰρ ἂν φάτις ἥδε μετ' ἀνθρώποισι γένοιτο·
Ἀττικὸς οὗτος ἀνὴρ τῶν Σαλαμῖν' ἀφέντων.
* * * * * *
ἴομεν εἰς Σαλαμῖνα, μαχησόμενοι περὶ νήσου
ἱμερτῆς, χαλεπόν τ' αἶσχος ἀπωσόμενοι.

XVII.

Δείξει δὴ μανίην μὲν ἐμὴν βαιὸς χρόνος αὐτοῖς,
δείξει, ἀληθείης ἐς μέσον ἐρχομένης.

XVIII.

Ἐκ νεφέλης φέρεται χιόνος μένος ἠδὲ χαλάζης·
βροντὴ δ' ἐκ λαμπρᾶς γίγνεται ἀστεροπῆς·
ἐξ ἀνέμων δὲ θάλασσα ταράσσεται· ἢν δέ τις αὐτὴν
μὴ κινῇ, πάντων ἐστὶ δικαιοτάτη.
ἀνδρῶν δ' ἐκ μεγάλων πόλις ὄλλυται· εἰς δὲ μοναρχου
δῆμος ἄϊδρις ἐὼν δουλοσύνην ἔπεσε.

XIX.

Εἰ δὲ πεπόνθατε δεινὰ δι' ὑμετέρην κακότητα,
μή τι θεοῖς τούτων μοῖραν ἐπαμφέρετε.
αὐτοὶ γὰρ τούτους ηὐξήσατε, ῥύσια δόντες,
καὶ διὰ ταῦτα κακὴν ἴσχετε δουλοσύνην.
ὑμέων δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,
ὔμμι δὲ σύμπασι χαῦνος ἔνεστι νόος.
εἰς γὰρ γλῶσσαν ὁρᾶτε, καὶ εἰς ἔπη αἱμύλου ἀνδρός·
εἰς ἔργον δ' οὐδὲν γιγνόμενον βλέπετε.

XX.

Δήμῳ μὲν γὰρ ἔδωκα τόσον κράτος, ὅσσον ἐπαρκεῖν,
τιμῆς οὔτ' ἀφελὼν, οὔτ' ἐπορεξάμενος·
οἳ δ' εἶχον δύναμιν, καὶ χρήμασιν ἦσαν ἀγητοὶ,
καὶ τοῖς ἐφρασάμην μηδὲν ἀεικὲς ἔχειν.
ἕστην δ' ἀμφιβαλὼν κρατερὸν σάκος ἀμφοτέροισι·
νικᾶν δ' οὐκ εἴασ' οὐδετέρους ἀδίκως.

XXI.

Ὧδ' ἂν δῆμος ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο,
μήτε λίην ἀνεθεὶς, μήτε πιεζόμενος.

XXII.

Νείλου ἐπὶ προχοῇσι, Κανωβίδος ἐγγύθεν ἀκτῆς.

XXIII.

Πρὸς Φιλόκυπρον, ἕνα τῶν ἐν Κύπρῳ βασιλέων.
Νῦν δὲ σὺ μὲν Σολίοισι πολὺν χρόνον ἐνθάδ' ἀνάσσων
τὴν πόλιν εὖ ναίοις, καὶ γενος ὑμέτερον.
αὐτὰρ ἐμὲ ξὺν νηῒ θοῇ κλεινῆς ἀπὸ νήσου
ἀσκηθῆ πέμποι Κύπρις ἰοστέφανος·
οἰκισμῷ δ' ἐπὶ τῷδε χάριν καὶ κῦδος ὀπάζοι
ἐσθλὸν, καὶ νόστον πατρίδ' ἐς ἡμετέρην.

XXIV.

Πρῶτα μὲν εὐχώμεσθα Διὶ Κρονίδῃ βασιλῆϊ,
θεσμοῖς τοῖσδε τύχην ἀγαθὴν καὶ κῦδος ὀπάσσαι.

XXV.

Οὐκ ἔφυ Σόλων βαθύφρων, οὐδὲ βουλήεις ἀνήρ.
ἐσθλὰ γὰρ θεοῦ διδόντος, αὐτὸς οὐκ ἐδέξατο·
περιβαλὼν δ' ἄγραν, ἀγασθεὶς οὐκ ἀνέσπασεν μέγα
δίκτυον, θυμοῦ θ' ἁμαρτῇ καὶ φρενῶν ἀποσφαλείς.
ἤθελον γάρ κεν κρατήσας, πλοῦτον ἄφθονον λαβὼν,
καὶ τυραννήσας Ἀθηνῶν μοῦνον ἡμέραν μίαν,
ἀσκὸς ὕστερον δεδάρθαι, κἀπιτετρίφθαι γένος.

XXVI.

Χαῦνα μὲν τότ' ἐφράσαντο, νῦν δ' ἐμοὶ χολούμενοι
λοξὸν ὀφθαλμοῖς δρῶσι πάντες ὥστε δήϊον.

XXVII.

Εἰ δὲ γῆς ἐφεισάμην
πατρίδος, τυραννίδος δὲ καὶ βίης ἀμειλίχου
οὐ καθηψάμην, μιάνας καὶ καταισχύνας κλέος,
οὐδὲν αἰδοῦμαι. πλέον γὰρ ὧδε νικήσειν δοκῶ
πάντας ἀνθρώπους.

XXVIII.

Συμμαρτυροίη ταῦτ' ἂν ἐν δίκῃ χρόνου
μήτηρ μεγίστη δαιμόνων Ὀλυμπίων
ἄριστα, Γῆ μέλαινα, τῆς ἐγὼ ποτὲ
ὅρους ἀνεῖλον πολλαχῆ πεπηγότας,
πρόσθεν δὲ δουλεύουσα, νῦν ἐλευθέρα·
πολλοὺς δ' Ἀθήνας, πατρίδ' εἰς θεόκτιτον,
ἀνήγαγον πραθέντας, ἄλλον ἐκδίκως,
ἄλλον δικαίως, τοὺς δ' ἀναγκαίης ὕπο
χρησμὸν λέγοντας, γλῶσσαν οὐκ ἔτ' Ἀττικὴν
ἱέντας, ὡς ἂν πολλαχῆ πλανωμένους·
τοὺς δ' ἐνθάδ' αὐτοῦ δουλοσύνην ἀεικέα
ἔχοντας, ἤδη δεσπότας τρομευμένους,
ἐλευθέρους ἔθηκα. ταῦτα μὲν κράτει,
ὁμοῦ βίαν τε καὶ δίκην συνάρμόσας,
ἔρεξα, καὶ διῆλθον ὡς ὑπεσχόμην.
θεσμοὺς δ' ὁμοίως τῷ κακῷ τε κἀγαθῷ,
εὐθεῖαν εἰς ἕκαστον ἁρμόσας δίκην,
ἔγραψα. κέντρον δ' ἄλλος, ὡς ἐγώ, λαβὼν,
κακοφραδής τε καὶ φιλοκτήμων ἀνὴρ,
οὐκ ἂν κατέσχε θυμόν, οὔτ' ἐπαύσατο,

πρὶν ἂν ταράξας, πῖαρ ἐξέλῃ, γάλα.

- - - - - -

εἰ γὰρ ἤθελον
ἃ τοῖς ἐναντίοισιν ἥνδανεν τότε,
αὖθις δ' ἃ τοῖσιν ἑτέροις, δρᾶσαι κακά,
πολλῶν ἂν ἀνδρῶν ἦδ' ἐχηρώθη πόλις.
τῶν οὕνεκ' ἀρχὴν πάντοθεν κυκεύμενος,
ὡς ἐν κυσὶν πολλαῖσιν ἐστράφην λύκος.

XXIX.

Ἅμα γὰρ ἔελπτα σὺν θεοῖσιν ἥνυσα,
ἅμα δ' οὐ μάτην ἔρδον.

XXX.

Πίνουσι, καὶ τρώγουσιν, οἱ μὲν ἔτρια,
οἱ δ' ἄρτον αὐτῶν, οἱ δὲ συμμεμιγμένους
γούρους φακοῖσι· κεῖθι δ' οὔτε πεμμάτων
ἄπεστιν οὐδέν, ὅσσ' ἂν ἀνθρώποισι γῆ
φέρει μέλαινα· πάντα δ' ἀφθόνως πάρα.

XXXI.

Πεφυλαγμένος ἄνδρα ἕκαστον,
ὅρα μὴ κρυπτὸν ἔγχος ἔχων
καρδίῃ φαιδρῷ
προσεννέπῃ προσώπῳ,
γλῶσσα δέ οἱ δικόμυθος
ἐκ μελαίνης φρενὸς γεγαυῖῃ.

ΤΕΛΟΣ ΤΩΝ ΣΟΛΩΝΟΣ.

ΦΩΚΥΛΙΔΟΥ ΜΙΛΗΣΙΟΥ.

I.

Χρηΐζων πλούτου, μελέτην ἔχε πίονος ἀγροῦ.
ἀγρὸν γάρ τε λέγουσιν Ἀμαλθείης κέρας εἶναι.

II.

Καὶ τόδε Φωκυλίδεω· Τετόρων ἀπὸ τῶνδ' ἐγένοντο
φῦλα γυναικείων. ἡ μὲν κυνός, ἡ δὲ μελίσσης,
ἡ δὲ συὸς βλοσυρῆς, ἡ δ' ἵππου χαιτηέσσης.
εὔφορος ἥδε, ταχεῖα, περίδρομος, εἶδος ἀρίστη.
ἡ δὲ συὸς βλοσυρῆς, οὔτ' ἄρ κακὴ, οὐδὲ μὲν ἐσθλή.
ἡ δὲ κυνός, χαλεπή τε καὶ ἄγριος. ἡ δὲ μελίσσης,
οἰκονόμος τ' ἀγαθὴ, καὶ ἐπίσταται ἐργάζεσθαι,
ἧς εὔχου, φίλ' ἑταῖρε, λαχεῖν γάμον ἱμερόεντα.

III.

Καὶ τόδε Φωκυλίδεω· Τί πλέον γένος εὐγενὲς εἶναι,
οἷς οὔτ' ἐν μύθοις ἕπεται χάρις, οὔτ' ἐνὶ βουλῇ;

IV.

Καὶ τόδε Φωκυλίδεω· Πόλις ἐν σκοπέλῳ κατὰ κόσμον
οἰκεῦσα σμικρὴ, κρείσσων Νίνου ἀφραινούσης.

V.

Καὶ τόδε Φωκυλίδεω· Λέριοι κακοί· οὐχ ὅ μὲν, ὃς δ' οὐ πάντες, πλὴν Προκλέους· καὶ Προκλέης Λέριος.

VI.

Καὶ τόδε Φωκυλίδεω· Χρή τοι τὸν ἑταῖρον ἑταίρῳ φροντίζειν ἄσσ' ἂν περιγογγύζωσι πολῖται.

VII.

Χρὴ δ' ἐν συμποσίῳ, κυλίκων περινισσομενάων, ἡδέα κωτίλλοντα καθήμενον οἰνοποτάζειν.

ΤΕΛΟΣ ΤΩΝ ΦΩΚΥΛΙΔΟΥ.

ΣΙΜΩΝΙΔΟΥ.

I.

Οὐδὲν ἐν ἀνθρώποισι μένει χρῆμ' ἔμπεδον αἰεί.
ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ·
ΟΙΗΠΕΡ ΦΥΛΛΩΝ ΓΕΝΕΗ, ΤΟΙΗΔΕ ΚΑΙ ΑΝΔΡΩΝ.
παῦροί μιν θνητῶν οὔασι δεξάμενοι
στέρνοις ἐγκατέθεντο. πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ,
ἀνδρῶν ἥ τε νέων στήθεσιν ἐμφύεται.
θνητῶν δ' ὅφρα τις ἄνθος ἔχῃ πολυήρατον ἥβης,
κοῦφον ἔχων θυμὸν, πόλλ' ἀτέλεστα νοεῖ.
οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασσέμεν, οὔτε θανεῖσθαι,
οὐδ', ὑγιὴς ὅταν ᾖ, φροντίδ' ἔχει καμάτου.
νήπιοι, οἷς ταύτῃ κεῖται νόος, οὐδέ τ' ἴσασιν,
ὡς χρόνος ἔσθ' ἥβης καὶ βιότου ὀλίγος
θνητοῖς. ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα
ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.

II.

ΠΕΡΙ ΓΥΝΑΙΚΩΝ.

Χωρὶς γυναικὸς θεὸς ἐποίησεν νόον
τὰ πρῶτα. τὴν μὲν ἐξ ὑὸς ταυύτριχος,
τῇ πάντ' ἀν' οἶκον βορβόρῳ πεφυρμένα

ἄκοσμα κεῖται, καὶ κυλινδεῖται χαμαί·
αὐτὴ δ' ἄλουτος, ἄπλυτός τ' ἐν εἵμασιν,
ἐν κοπρίῃσιν ἡμένη πιαίνεται.

Τὴν δ' ἐξ ἁλιτρῆς θεὸς ἔθηκ' ἀλώπεκος
γυναῖκα, πάντων ἶδριν· οὐδέ μιν κακῶν
λέληθεν οὐδὲν, οὐδὲ τῶν ἀμεινόνων.
τὸ μὲν γὰρ αὐτῆς ἐστὶ πολλάκις κακὸν,
τὸ δ' ἐσθλόν· ὀργὴν δ' ἄλλοτ' ἄλλοίην ἔχει.

Τὴν δ' ἐκ κυνὸς λιτουργὸν, αὐτομήτορα,
ἣ πάντ' ἀκοῦσαι, πάντα δ' εἰδέναι θέλει,
πάντη δὲ παπταίνουσα καὶ πλανωμένη,
λέληκεν, ἢ καὶ μηδέν' ἀνθρώπων ὁρᾷ.
παύσειε δ' ἄν μιν οὔτ' ἀπειλήσας ἀνὴρ,
οὐδ' εἰ χολωθεὶς ἐξαράξειεν λίθῳ
ὀδόντας, οὐδ' ἂν μειλίχως μυθεύμενος·
οὐδ' εἰ παρὰ ξείνοισιν ἡμένη τύχοι·
ἀλλ' ἐμπεδῶς ἄπρηκτον αὐόνην ἔχει.

Τὴν δὲ πλάσαντες γῆθεν Ὀλύμπιοι,
ἔδωκαν ἀνδρὶ πονηρόν· οὔτε γὰρ κακὸν,
οὔτ' ἐσθλὸν οὐδὲν οἶδε τοιαύτη γυνή·
ἔργον δὲ μοῦνον, ἐσθίειν, ἐπίσταται·
κοὔτ', ἂν κακὸν χειμῶνα προιήσῃ θεὸς,
ῥιγῶσα, δίφρον ἄσσον ἕλκεται πυρός.

Τὴν δ' ἐκ θαλάσσης ἐν φρεσὶν γ' ἤδη νόει
τὴν μὲν γελᾷ τε καὶ γέγηθεν ἡμέρην.
ἐπαινέσει μιν ξεῖνος ἐν δόμοις ἰδών·
Οὐκ ἔστιν ἄλλη τῆσδε λωΐων γυνὴ
ἐν πᾶσιν ἀνθρώποισιν, οὐδὲ καλλίων.
τὴν δ', οὐκ ἀνεκτὸς οὐδ' ἐν ὀφθαλμοῖς ἰδεῖν·

οὔτ' ἴσσον ἐλθεῖν, ἀλλὰ μαίνεται τότε
ἄπλητον, ὥσπερ ἀμφὶ τέκνοισιν κύων.
ἀμείλιχος δὲ πᾶσι κἀποθυμίη,
ἐχθροῖσιν ἶσα καὶ φίλοισι, γίγνεται.
ὥσπερ θάλασσα πολλάκις μὲν ἀτρεμὴς
ἔστηκ' ἀπήμων, χάρμα ναύτῃσιν μέγα,
θέρεος ἐν ὥρῃ, πολλάκις δὲ μαίνεται
βαρυκτύποισι κύμασιν φορευμένη·
ταύτῃ μάλιστ' ἔοικε τοιαύτη γυνὴ
ὀργήν· φυὴν δ', ὡς πόντος, ἀλλοίην ἔχει.

Τὴν δ' ἐκ σποδιῆς τε καὶ παλιντριβέος ὄνου,
ἣ σύν τ' ἀνάγκῃ, σύν τ' ἐνιπῇσιν μόγις
ἔρεξεν ὧν ἅπαντα, καὶ πονήσατο
ἀρεστά· τόφρα δ' ἐσθίει μὲν ἐν μυχῷ
προνὺξ, προῆμαρ, ἐσθίει δ' ἐπ' ἐσχάρῃ·
ὅμως δὲ καὶ πρὸς ἔργον ἀφροδίσιον
ἐλθόνθ' ἑταῖρον ὀντινοῦν ἐδέξατο.

Τὴν δ' ἐκ γαλῆς, δύστηνον ὀϊζυρὸν γένος.
κείνῃ γὰρ οὔ τι καλὸν οὐδ' ἐφίμερον
πρόσεστιν, οὐδὲ τερπνόν, οὐδ' ἐράσμιον·
εὐνῆς δ' ἀδηνὴς ἐστιν ἀφροδισίης,
τὸν δ' ἄνδρα τὸν συνόντα ναυσίῃ διδοῖ·
κλέπτουσα δ' ἔρδει πολλὰ γείτονας κακά,
ἄθυτα δ' ἱρὰ πολλάκις κατεσθίει.

Τὴν δ' ἵππος ἁβροχαιτόεσσ' ἐγείνατο,
ἣ δουλί' ἔργα καὶ δύην περιτρέπει·
κοὔτ' ἂν μύλης ψαύσειεν, οὔτε κόσκινον
ἄρειεν, οὔτε κόπρον ἐξ οἴκου βάλοι,
οὔτε πρὸς ἰπνόν, ἀσβόλην ἀλευμένη,

ἴζοιτ', ἀνάγκη δ' ἄνδρα ποιεῖται φίλον.
λοῦται δὲ πάσης ἡμέρης ἀπὸ ῥύπον
δὶς, ἄλλοτε τρὶς, καὶ μύροις ἀλείφεται·
ἀεὶ δὲ καίτην ἐκτενισμένην φορεῖ,
βαθεῖαν, ἀνθέμοισιν ἐσκιασμένην.
καλὸν μὲν οὖν θέημα τοιαύτη γυνὴ
ἄλλοισι· τῷ δ' ἔχοντι γίγνεται κακὸν,
ἢν μή τις ἢ τύραννος, ἢ σκηπτοῦχος ᾖ,
ὅστις τοιούτοις θυμὸν ἀγλαΐζεται.

Τὴν δ' ἐκ πιθήκου· τοῦτο δὴ διακριδὸν
Ζεὺς ἀνθρώποισιν μέγιστον ὤπασεν κακόν.
αἴσχιστα μὲν πρόσωπα· τοιαύτῃ γυνὴ
εἶσιν δι' ἄστεος πᾶσιν ἀνθρώποις γέλως.
ἐπ' αὐχένα βραχεῖα κινεῖται μόγις,
ἄπυγος, αὐτόκωλος. ἃ τάλας ἀνὴρ,
ὅς τις κακὸν τοιοῦτον ἀγκαλίζεται.
δήνεα δὲ πάντα καὶ τρόπους ἐπίσταται,
ὥσπερ πίθηκος, οὐδέ οἱ γέλως μέλει.
οὐδ' ἄν τιν' εὖ ἔρξειεν, ἀλλὰ τοῦθ' ὁρᾷ,
καὶ τοῦτο πᾶσαν ἡμέρην βουλεύεται,
ὅκως τι, χὤς μέγιστον, ἔρξειεν κακόν.

Τὴν δ' ἐκ μελίσσης. τὴν τις εὐτυχεῖ λαβὼν.
κείνῃ γὰρ οἴῃ μῶμος οὐ προσιζάνει·
θάλλει δ' ὑπ' αὐτῆς κἀπαέξεται βίος·
φίλη δὲ σὺν φιλεῦντι γηράσκει πόσει,
τεκοῦσα καλὸν κ' οὐνομάκλυτον γένος·
κἀριπρεπὴς μὲν ἐν γυναιξὶ γίγνεται
πάσῃσι, θείη δ' ἀμφιδέδρομεν χάρις·
οὐδ' ἐν γυναιξὶν ἥδεται καθημένη,

ὅκου λέγουσιν ἀφροδισίους λόγους.
τοίας γυναῖκας ἀνδράσιν χαρίζεται
Ζεὺς τὰς ἀρίστας, καὶ πολυφραδεστάτας.
Τὰ δ' ἄλλα φῦλα ταῦτα μηχανῇ Διὸς
ἔστιν τε πάντα, καὶ παρ' ἀνδράσιν μένει.
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησεν κακὸν,
γυναῖκας· ἦν τι καὶ δοκῶσιν ὠφελεῖν,
ἔχοντί τοι μάλιστα γίγνεται κακόν.
οὐ γάρ κοτ' εὔφρων ἡμέρην διέρχεται
ἅπασαν, ἅτις σὺν γυναικὶ πάλεται·
οὐδ' αἶψα λεμὸν ἐκ δόμων ἀπώσεται,
ἐχθρὸν συναικητῆρα, δυσμενέα θεόν.
ἀνὴρ δ' ὅταν μάλιστα θυμηδεῖν δοκῇ
κατ' οἶκον, ἢ θεοῦ μοῖραν, ἢ ἀνθρώπου χάριν,
εὑροῦσα μῶμον ἐς μάχην κορύσσεται.
ὅκου γυνὴ γάρ ἐστιν, οὐδ' ἐς οἰκίην
ξεῖνον μολόντα προφρόνως δεχοίατο.
ἥτις δέ τοι μάλιστα σωφρονεῖν δοκεῖ,
αὕτη μέγιστα τυγχάνει λωβωμένη.
κεχηνότος γὰρ ἀνδρὸς - - -
- - - - οἱ δὲ γείτονες
χαίρουσ' ὁρῶντες καὶ τὸν, ὡς ἁμαρτάνει.
τὴν ἦν δ' ἕκαστος αἰνέσει μεμνημένος
γυναῖκα, τὴν δὲ τρυτέρου μωμήσεται·
ἴσην δ' ἔχοντες μοῖραν οὐ γιγνώσκομεν.
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησεν κακὸν,
καὶ δεσμὸν ἀμφέθηκεν ἄῤῥηκτον πέδῃ.
ἐξ οὗ τε τοὺς μὲν Ἅιδης ἐδέξατο
γυναικὸς εἵνεκ' ἀμφιδηριωμένους.

III.

Γυναικὸς οὐδὲν χρῆμ᾽ ἀνὴρ λήΐζεται
ἐσθλῆς ἄμεινον, οὐδὲ ῥίγιον κακῆς.

IV.

Ὦ παῖ, τέλος μὲν Ζεὺς ἔχει βαρύκτυπος
πάντων, ὅσ᾽ ἐστὶ, καὶ τίθησ᾽ ὅπη θέλει.
νοῦς δ᾽ οὐκ ἔπ᾽ ἀνθρώποισιν· ἀλλ᾽ ἐφήμεροι
ἀεὶ βροτοὶ δὴ ζῶμεν, οὐδὲν εἰδότες,
ὅπως ἕκαστον ἐκτελευτήσει θεός.
ἐλπὶς δὲ πάντας καὶπιπειθὴς τρέφει
ἄπρηκτον ὀρμαίνοντας. οἱ μὲν ἡμέρην
μένουσιν ἐλθεῖν, οἱ δ᾽ ἐτέων περιτροπάς.
νέωτα δ᾽ οὐδεὶς ὅστις οὐ δοκεῖ βροτῶν
πλούτῳ τε καὶγαθοῖσιν ἵξεσθαι φίλον.
φθάνει δὲ τὸν μὲν γῆρας ἄζηλον λαβὸν,
πρὶν τέρμ᾽ ἵκηται· τοὺς δὲ δύστηνοι νόσοι
φθείρουσι θνητῶν· τοὺς δ᾽ Ἄρει δεδμημένους
πέμπει μελαίνης Ἅΐδης ὑπὸ χθονός·
οἱ δ᾽ ἐν θαλάσσῃ, λαίλαπι κλονεύμενοι
καὶ κύμασιν πολλοῖσι πορφυρῆς ἁλὸς,
θνήσκουσιν, εὖτ᾽ ἂν μὴ δυνήσωνται ζώειν·
οἱ δ᾽ ἀγχόνην ἥψαντο δυστήνῳ μόρῳ,
καὐτάγρετοι λείπουσιν ἡλίου φάος.
οὕτω κακῶν ἄπ᾽ οὐδέν· ἀλλὰ μυρίαι
βροτοῖσι κῆρες, κἀνεπίφραστοι δύαι,
καὶ πήματ᾽ ἐστίν· εἰ δ᾽ ἐμοὶ πιθοίατο,
οὐκ ἂν κακῶν ἐρῷμεν, οὐδ᾽ ἐν ἄλγεσι
κακοῖς ἔχοντες θῦμὸν αἰκιζοίμεθα.

V.

Πάμπαν δ' ἄμωμος οὔτις, οὐδ' ἀλήριος.

VI.

Τοῦ μὲν θανόντος οὐκ ἂν ἐνθυμοίμεθα,
εἴ τι φρονοῖμεν, πλεῖον ἡμέρας μιᾶς.

VII.

Ὁ δ' αὖ θάνατος ἔκιχε καὶ τὸν φυγόμαχον.

VIII.

Ἄνθρωπος ἐών, μήποτε φήσῃς
ὅ τι γενήσεται,
μηδ' ἄνδρα ἰδὼν, ὅσον ἐσσεῖται
χρόνον. ὠκεῖα γὰρ οὐδὲ ταναυπτερύγου μυίας
οὕτως ἅ μετάστασις.

IX.

Βιοτῆς μὲν γὰρ
χρόνος ἐστὶ βραχύς· κρυφθεὶς δ' ὑπὸ γῆς
κεῖται θνητὸς τὸν ἅπαντα χρόνον.

X.

Ζεὺς πάντων αὐτὸς φάρμακα μοῦνος ἔχει.

ΤΕΛΟΣ ΤΩΝ ΣΙΜΩΝΙΔΟΥ.

ΠΥΘΑΓΟΡΟΥ ΧΡΥΣΑ ΕΠΗ

Ἀθανάτους μὲν πρῶτα θεούς, νόμῳ ὡς διάκεινται,
τίμα· καὶ σέβου ὅρκον, ἔπειθ' ἥρωας ἀγαυούς.
τούς τε καταχθονίους σέβε δαίμονας, ἔννομα ῥέζων·
τούς τε γονεῖς τίμα, τοὺς τ' ἄγχιστ' ἐκγεγαῶτας·
τῶν δ' ἄλλων ἀρετῇ ποιεῦ φίλον ὅς τις ἄριστος.
πραέσι δ' εἶκε λόγοις, ἔργοισί τ' ἐπωφελίμοισι.
μηδ' ἔχθαιρε φίλον σὸν ἁμαρτάδος εἵνεκα μικρῆς,
ὄφρα δύνῃ· δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει.
ταῦτα μὲν οὕτως ἴσθι· κρατεῖν δ' εἰθίζεο τῶνδε,
γαστρὸς μὲν πρώτιστα, καὶ ὕπνου, λαγνείης τε,
καὶ θυμοῦ. πρήξεις δ' αἰσχρόν ποτε, μήτε μετ' ἄλλου,
μήτ' ἰδίῃ· πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.
εἶτα δικαιοσύνην ἄσκει ἔργῳ τε λόγῳ τε.
μηδ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε.
ἀλλὰ γνῶθι μὲν ὡς θανέειν πέπρωται ἅπασι.
χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φίλει, ἄλλοτ' ὀλέσσαι.
ὅσσα τε δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν,
ἣν ἂν μοῖραν ἕλῃς, ταύτην φέρε, μηδ' ἀγανάκτει·
ἰᾶσθαι δὲ πρέπει, καθόσον δύνῃ· ὧδε δὲ φράζευ
οὐ πάνυ τοῖς ἀγαθοῖς τούτων πολὺ μοῖρα δίδωσι.

πολλοὶ δ' ἀνθρώποισι λόγοι δειλοί τε καὶ ἐσθλοὶ
προσπίπτουσ', ὧν μήτ' ἐκπλήσσεο, μήτ' ἄρ' ἐάσῃς
εἴργεσθαι σαυτόν· ψεῦδος δ' ἢν περ τι λέγηται,
πρᾴως ἴσχ'· ὃ δέ τοι ἐρέω, ἐπὶ παντὶ τελείσθω.
μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ,
πρῆξαι μήτ' εἰπεῖν ὅ τι τοι μὴ βέλτερόν ἐστι·
βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μῶρα πέλῃται.
δειλοῦ τοι πρήσσειν τε λέγειν τ' ἀνόητα πρὸς ἀνδρός·
ἀλλὰ τάδ' ἐκτελέειν, ἃ σε μὴ μετέπειτ' ἀνιήσει.
πρῆσσε δὲ μηδὲν τῶν μὴ ἐπίστασαι, ἀλλὰ διδάσκευ
ὅσσα χρεών, καὶ τερπνότατον βίον ὧδε διάξεις.

Οὐδ' ὑγιείης τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή.
ἀλλὰ ποτοῦ τε μέτρον, καὶ σίτου, γυμνασίων τε
ποιεῖσθαι· μέτρον δὲ λέγω τόδ', ὅ μή σ' ἀνιήσει.
εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον, ἄθρυπτον·
καὶ περφύλαξό γε ταῦτα ποιεῖν, ὅπόσα φθόνον ἴσχει.
μὴ δαπανᾶν παρὰ καιρόν, ὁποῖα καλῶν ἀδαήμων
μηδ' ἀνελεύθερος ἴσθι· μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.
πρῆσσε δὲ ταῦθ', ἃ σε μὴ βλάψει· λόγισαι δὲ πρὸ
ἔργου.

Μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,
πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν·
Πῇ παρέβην; Τί δ' ἔρεξα; Τί μοι δέον οὐκ ἐτελέσθη;
ἀρξάμενος δ' ἀπὸ πρώτου ἐπέξιθι· καὶ μετέπειτα
δειλὰ μὲν ἐκπρήξας, ἐπιπλήσσεο· χρηστὰ δὲ, τέρπου.

Ταῦτα πόνει, ταῦτ' ἐκμελέτα· τούτων χρὴ ἐράν σε,
ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει.
ναὶ μὰ τὸν ἁμετέρᾳ ψυχῇ παραδόντα τετρακτύν,

παγὰν ἀενάου φύσεως. ἀλλ' ἔρχευ ἐπ' ἔργον,
θεοῖσιν ἐπευξάμενος τελέσαι. τούτων δὲ κρατήσας,
γνώσῃ ἀθανάτων τε θεῶν, θνητῶν τ' ἀνθρώπων
σύστασιν, ᾗ τε ἕκαστα διέρχεται, ᾗ τε κρατεῖται·
γνώσῃ δ', ᾗ θέμις ἐστὶ, φύσιν περὶ παντὸς ὁμοίην,
ὥστε σε μήτε ἄελπτ' ἐλπίζειν, μήτε τι λήθειν.
γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας·
τλήμονες, οἵ τ' ἀγαθῶν πέλας ὄντων οὐκ ἐσορῶσιν
οὔτε κλύουσι· λύσιν δὲ κακῶν παῦροι συνίσασι.
τοίη μοῖρα βροτῶν βλάπτει φρένας· ὡς δὲ κύλινδροι
ἄλλοτ' ἐπ' ἄλλα φέρονται, ἀπείρονα πήματ' ἔχοντες.
λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθε
σύμφυτος, ἣν οὐ δεῖ προσάγειν, εἴκοντα δὲ φεύγειν.
Ζεῦ πάτερ, ἦ πολλῶν κε κακῶν λύσειας ἅπαντας,
εἰ πᾶσιν δείξαις, οἵῳ τῷ δαίμονι χρῶνται.
ἀλλὰ σὺ θάρσει, ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν,
οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα.
ὧν εἴ σοί τι μέτεστι, κρατήσεις ὧν σε κελεύω,
ἐξακέσας, ψυχὴν δὲ πόνων ἀπὸ τῶνδε σαώσεις.
Ἀλλ' εἴργου βρωτῶν, ὧν εἴπομεν, ἔν τε καθαρμοῖς,
ἔν τε λύσει ψυχῆς κρίνων, καὶ φράζευ ἕκαστα,
ἡνίοχον γνώμην στήσας καθύπερθεν ἀρίστην.
ἣν δ' ἀπολείψας σῶμα ἐς αἰθέρ' ἐλεύθερον ἔλθῃς,
ἔσσεαι ἀθάνατος, θεὸς ἄμβροτος, οὐκ ἔτι θνητός.

Vid. [illegible] C. VII. 746.

ΤΕΛΟΣ ΤΩΝ ΠΥΘΑΓΟΡΟΥ.

ΦΩΚΥΛΙΔΟΥ

ΕΤΕΡΟΥ Η ΨΕΥΔΩΝΥΜΟΥ ΠΟΙΗΜΑ ΝΟΥΘΕΤΙΚΟΝ.

Μήτε γαμοκλοπέειν, μήτ' ἄρσενα Κύπριν ὀρίνειν.
μήτε δόλους ῥάπτειν, μήθ' αἵματι χεῖρα μιαίνειν.
μὴ πλουτεῖν ἀδίκως, ἀλλ' ἐξ ὁσίων βιοτεύειν.
ἄρκεῖσθαι παρεοῦσι, καὶ ἀλλοτρίων ἀπέχεσθαι.
ψεύδεα μὴ βάζειν, τὰ δ' ἐτήτυμα πάντ' ἀγορεύειν.
Πρῶτα θεὸν τίμα, μετέπειτα δὲ σεῖο γονῆας.
πᾶσι δίκαια νέμειν, μηδὲ κρίσιν ἐς χάριν ἕλκειν.
μὴ ῥίψῃς πενίην· ἀδίκως μὴ κρῖνε πρόσωπον.
ἢν σὺ κακῶς δικάσῃς, σὲ θεὸς μετέπειτα δικάσσει.
μαρτυρίην ψευδῆ φεύγειν· τὰ δίκαι' ἀγορεύειν.
παρθενίην τηρεῖν· ἀγάπην δ' ἐν πᾶσι φυλάσσειν.
μέτρα νέμειν τὰ δίκαια, καλὸν δ' ἐπίμετρον ἅπασι.
σταθμὸν μὴ κρούειν ἑτερόζυγον, ἀλλ' ἴσον ἕλκειν.
μήτ' ἐπιορκεῖν, μήτ' ἀγνοίῃ, μήτε ἑκοντί·
ψεύδορκον στυγέει θεὸς ἄμβροτος ὅστις ὀμόσσει.
σπέρματα μὴ κλέπτειν· ἐπαράσιμος, ὅστις ἕληται.
μισθὸν μοχθήσαντι δίδου· μὴ θλῖβε πένητα.

γλώσσῃ νοῦν ἐχέμεν· κρυπτὸν λόγον ἐν φρεσὶν ἴσχειν.
μήτ' ἀδικεῖν ἐθέλῃς, μήτ' οὖν ἀδικοῦντα ἐάσῃς.
πτωχῷ δ' εὐθὺ δίδου, μηδ' αὔριον ἐλθέμεν εἴπῃς.
πληρώσας σέο χεῖρ', ἔλεον χρῄζοντι παράσχου.
ἄστεγον εἰς οἶκον δέξαι, καὶ τυφλὸν ὁδήγει.
ναυηγοὺς οἴκτειρον, ἐπεὶ πλόος ἐστὶν ἄδηλος.
χεῖρα πεσόντι δίδου· σῶσον δ' ἀπερίστατον ἄνδρα.
κοινὰ πάθη πάντων· ὁ βίος τροχός· ἄστατος ὄλβος.
πλοῦτον ἔχων, σὴν χεῖρα πενητεύουσιν ὄρεξον·
ὧν σοι ἔδωκε θεός, τούτων χρῄζουσι παράσχου.
ἔστω κοινὸς ἅπας ὁ βίος, καὶ ὁμόφρονα πάντα.

Τὸ ξίφος ἀμφιβαλοῦ, μὴ πρὸς φόνον, ἀλλ' ἐς ἄμυναν·
εἴθε δὲ μὴ χρῄζοις μήτ' ἔννομα, μήτ' ἀδίκως γε.
ἢν γὰρ ἀποκτείνῃς ἐχθρὸν σέο, χεῖρα μιαίνεις.

Ἀγροῦ γειτονέοντος ἀπόσχεο, μηδ' ἂρ' ὑπερβῇς.
μηδέ τιν' αὐξόμενον καρπὸν λώβησον ἀρούρης.

Ἔστασαν ὁμότιμοι ἐπήλυδές ἐν πολίηται·
πάντες γὰρ πενίης πειρώμεθα τῆς πολυπλάγκτου·
χώρη δ' οὔ τι βέβαιον ἔχει πέδον ἀνθρώποισι.

Ἡ φιλοχρημοσύνη μήτηρ κατότητος ἁπάσης.
χρυσὸς ἀεὶ δόλος ἐστὶ καὶ ἄργυρος ἀνθρώποισι.
χρυσέ, κακῶν ἀρχηγέ, βιοφθόρε, πάντα χαλέπτων,
εἴθε σε μὴ θνητοῖσι γενέσθαι πῆμα πολεινόν.
σοῦ γὰρ ἕκητι μάχαι τε, λῃλασίαι τε, φόνοι τε,
ἐχθραὶ δὲ τέκνα γονεῦσιν, ἀδελφειοί τε συναίμοις.

Μηδ' ἕτερον κεύθοις κραδίῃ νόον, ἄλλ' ἀγορεύων·
μηδ', ὡς πετρόφυὴς πολύπους, κατὰ χῶραν ἀμείβου.

Ὅστις ἑκὼν ἀδικεῖ, κακὸς ἀνήρ· ἀλλ' ὑπ' ἀνάγκης,
οὐκ ἐρέω τὸ τέλος· βουλὴ δ' εὐθύνεθ' ἑκάστου.

Μὴ γαυροῦ σοφίῃ, μήτ' ἀλκῇ, μήτ' ἐνὶ πλούτῳ.
εἷς θεός ἐστι σοφὸς, δυνατός θ' ἅμα, καὶ πολύολβος.

Μηδὲ παροιχομένοισι κακοῖς τρύχου τεὸν ἦτορ·
οὐκ ἔτι γὰρ δύναται τὸ τετυγμένον εἶναι ἄτυκτον.

Μὴ προπετὴς ἐς χεῖρα, χαλίνου δ' ἄγριον ὀργήν·
πολλάκι γὰρ πλήξας ἄλκιμον φόνον ἐξετέλεσσεν.

Ἔστω κοινὰ πάθη· μηδὲν μέγα, μηδ' ὑπέροπλον.
οὐκ ἀγαθὸν πλεονάζον ἔφυ θνητοῖσιν ὄνειαρ·
ἡ πολλὴ δὲ τροφὴ πρὸς ἀμέτρους ἕλκει ἔρωτας·
ὑψαυχεῖ δ' ὁ πολὺς πλοῦτος, καὶ ἐς ὕβριν ἄξει.

Θυμὸς ὑπερχόμενος μανίην ὀλοόφρονα τεύχει·
ὀργὴ δ' ἐστὶν ὄρεξις· ὑπερβαίνουσα δὲ, μῆνις.

Ζῆλος τῶν ἀγαθῶν, ἐσθλός· φαύλων δὲ, κακοῦργος.
τόλμα κακῶν, ὅλοή· μὲν ὀφέλλει δ' ἐσθλὰ πονεῦντας.
σεμνὸς ἔρως ἀρετῆς, ὁ δὲ Κύπριδος, αἰσχος ὀφέλλει.
ἡδὺς ἀγανόφρων νικήσεται ἐν πολίηται.
μέτρῳ μὲν φαγέειν, πίνειν καὶ μυθολογεύειν·
πάντων μέτρον ἄριστον, ὑπερβασίαι δ' ἀλιτῆναι.

Μὴ φθονέσῃς ἀγαθῶν ἑτάροις, μὴ μῶμον ἀνάψῃς.
ἄφθονοι Οὐρανίδαι καὶ ἐν ἀλλήλοις τελέθουσιν.
οὐ φθονέει μήνη πολὺ κρείσσοσιν ἠλίου αὐγαῖς·
οὐ χθὼν οὐρανίοις ὑψώμασι, νέρθεν ἑοῦσα·
οὐ ποταμοὶ πελάγεσσιν· ἀεὶ δ' ὁμόνοιαν ἔχουσιν.
εἰ γὰρ ἔρις μακάρεσσιν ἔην, οὐκ ἂν πόλος ἔστη.

Σωφροσύνην δ' ἀσκεῖν, αἰσχρῶν δ' ἔργων ἀπέχεσθαι.
μὴ μιμοῦ κακότητα, Δίκη δ' ἀπόλειψον ἄμυναν.
πειθὼ μὲν γὰρ ὄνειαρ· ἔρις δ' ἔριν ἀντιφυτεύει.
μὴ πίστευε τάχιστα, πρὶν ἀτρεκέως πέρας ὄψει.
νικᾶν εὖ ἔρδοντας ἐπὶ πλεόνεσσι καθήκει.
Καλὸν ξεινίζειν ταχέως λιταῖσι τραπέζαις,
ἢ πλείσταις θαλίαισι βραδυνούσαις παρὰ καιρόν.
Μηδέποτε χρήστης πικρὸς γένῃ ἀνδρὶ πένητι.
μηδέ τις ὄρνιθας καλιῆς ἅμα πάντας ἐλέσθω·
μητέρα δ' ἐκπρολίποις, ἵν' ἔχῃς πάλι τῆσδε νεοσσούς.
Μηδέποτε κρίνειν ἀδαήμονας ἄνδρας ἐάσῃς·
τὴν σοφίην σοφὸς ἰθύνει, τέχνην δ' ὁμότεχνος.
οὐ χωρεῖ μεγάλην διδαχὴν ἀδίδακτος ἀκούειν·
οὐ γὰρ δὴ νοέουσ' οἱ μηδέποτ' ἐσθλὰ μαθόντες.
Μηδὲ τραπεζοκόρους κόλακας ποιεῖσθαι ἑταίρους.
πολλοὶ γὰρ πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι,
καιρὸν θωπεύοντες, ἐπὴν κορέσασθαι ἔχωσιν·
ἀχθόμενοι δ' ὀλίγοις καὶ πολλοῖς, πάντες ἄπληστοι.
Λαῷ μὴ πίστευε· πολύτροπός ἐστιν ὅμιλος.
λαός τοι, καὶ ὕδωρ, καὶ πῦρ, ἀκατάσχετα πάντα.
Μηδὲ μάτην ἐπὶ πῦρ καθίσας μινύθῃς φίλον ἦτορ.
μέτρα δὲ τεύχε θεοῖσι· τὸ γὰρ μέτρον ἐστὶν ἄριστον.
Γαῖαν ἐπιμοιρᾶσθαι ἀταρχύτοις νεκύεσσι.
μὴ τύμβον φθιμένου ἀνορύξῃς, μηδ' ἀθέατα
δείξῃς ἠελίῳ, καὶ δαιμόνιον χόλον ὄρσῃς.
οὐ καλὸν ἁρμονίην ἀναλύσμεν ἀνθρώποιο.

καὶ τάχα δ' ἐκ γαίης ἐλπίζομεν ἐς φάος ἐλθεῖν
λείψαν' ἀποιχομένων· ὀπίσω δὲ θεοὶ τελέθονται.
ψυχαὶ γὰρ μίμνουσιν ἀκήριοι ἐν φθιμένοισι.
πνεῦμα γάρ ἐστι θεοῦ χρῆσις θνητοῖσι καὶ εἰκών·
σῶμα δ' ἄρ' ἐκ γαίης ἔχομεν, καὶ πᾶν τόδ' ἐς αὐτὴν
λυόμενον κόνις ἐστίν· ἀὴρ δ' ἀνὰ πνεῦμα δέδεκται.
Πλούτου μὴ φείδου· μίμνῃσ' ὅτι θνητὸς
ὑπάρχεις,
οὐκ ἔν' ἐς Ἄιδην ὄλβον ἔχειν, καὶ χρήματ' ἄγεσθαι.
πάντες ἴσοι νέκυες· ψυχῶν δὲ θεὸς βασιλεύει,
κοινὰ μέλαθρα δόμων αἰώνια, καὶ πατρὶς Ἄιδης·
ξυνὸς χῶρος ἅπασι, πένησί τε καὶ βασιλεῦσιν.
οὐ πολὺν ἄνθρωποι ζῶμεν χρόνον, ἀλλ' ἐπὶ καιρόν
ψυχὴ δ' ἀθάνατος καὶ ἀγήρως ζῇ διὰ παντός.
Μήτε κακοῖς ἄχθου, μήτ' οὖν ἐπαγάλλεο
χάρμῃ.
πολλά τοι ἐν βιότῳ καὶ θαρσαλέοισιν ἄπιστα.
καιρῷ λατρεύειν, μηδ' ἀντιπνέειν ἀνέμοισι.
πῆμα, καὶ ἀχθομένοισι κακοῦ λύσις ἤλυθεν ἄφνω.
Μὴ μεγαληγορίῃσι τρυφῶν φρένα λυσσωθείης.
εὐεπίην ἀσκεῖν, ἥ τις μάλα πάντας ὀνήσει.
ὅπλον τοι λόγος ἀνδρὶ τομώτερόν ἐστι σιδήρου.
ὅπλον ἑκάστῳ νεῖμε θεός· φύσιν ἠερόφοιτον
ὄρνισι· πολλὴν ταχυτῆτ' ἀλκήν τε λέουσι·
ταύροις δ' αὐτόχυτον κέρας ἐστίν· κέντρα μελίσσαις,
ἔμφυτον ἄλκαρ, ἔδωκε· λόγος δ' ἔρυμ' ἀνθρώποισι.
τῆς δὲ θεοπνεύστου σοφίης λόγος ἐστὶν ἄριστος.
βέλτερος ἀλκήεντος ἔφυ σεσοφισμένος ἀνήρ.
ἀγροὺς καὶ πόλιας σοφίη καὶ νῆα κυβερνᾷ.

Οὐχ ὅσιον κρύπτειν τὸν ἀτάσθαλον ἄνδρα ἄδικτον
ἀλλὰ χρὴ κακοεργὸν ἀποτροπάσασθαι ἀνάγκῃ.
πολλάκι συνθνήσκουσι κακοῖς οἱ συμπαρεόντες.

Φωρῶν μὴ δέξῃ κλοπίμην ἀνδρῶν παραθήκην·
ἄμφότεροι κλῶπες, καὶ ὁ δεξάμενος, καὶ ὁ κλέψας.

Μοίρας παισὶ νέμειν· ἰσότης δ' ἐν πᾶσιν ἀρίστη.

Ἀρχόμενος φείδου πάντων, μὴ τέρμ' ἐπιδεύῃς.
μὴ κτήνους θνητοῖο βορὴν κατὰ μέτρον ἕληαι.

Κτῆνος δ' ἢν ἐχθροῖο πέσῃ καθ' ὁδὸν, συνέγειρον.
πλαζόμενον δὲ βροτὸν καὶ ἀλίτροπον οὐχ ὑπαλύξεις.
βέλτερον ἀντ' ἐχθροῖο τυχεῖν φίλον εὐμενέοντα.
ἀρχόμενον τὸ κακὸν κόπτειν, ἕλκος τ' ἀκέσασθαι.
μηδέ τι θηρόβορον δαίσῃ κρέας· ἀργίποσιν δὲ
λείψανα λεῖπε κυσίν· θηρῶν ἄπο θῆρες ἔδονται.
φάρμακα μὴ τεύχειν· μαγικῶν βίβλων ἀπέχεσθαι.
νηπιάχων ἔπαλῶν μὴ ἅψῃ χειρὶ βιαίᾳ.
φεῦγε διχοστασίας καὶ ἔριν, πολέμου προσιόντος.
μὴ κακὸν εὖ ἔρξῃς· σπείρειν ἴσον ἐστ' ἐνὶ πόντῳ.

Ἐργάζευ, μοχθῶν ὡς ἐξ ἰδίων βιοτεύῃς.
πᾶς γὰρ ἀεργὸς ἀνὴρ ζώει κλοπίμων ἀπὸ χειρῶν.
μηδ' ἄλλου παρὰ δαιτὸς ἔθοις σκυβάλισμα τραπέζης·
ἀλλ' ἀπὸ τῶν ἰδίων βιότων φαγέοις ἀνύβριστα.
εἰ δέ τις οὐ δεδάηκε τέχνην, σπάπτοιτο δικέλλῃ.
ἔστι βίῳ πᾶν ἔργον, ἐπὰν μοχθεῖν ἐθέλῃσθα.
ναυτίλος εἰ πλώειν ἐθέλεις, εὐρεῖα θάλασσα·
εἰ δὲ γεωπονίην μεθέπειν, μακραί τοι ἄρουραι.
οὐδὲν ἄνευ καμάτου πέλει ἀνδράσιν εὐπετὲς ἔργον,

οὐδ᾽ αὐτοῖς μακάρεσσι· πόνος δ᾽ ἀρετὴν μέγ᾽ ὀφέλλει.
μύρμηκες, γαίης μυχάτους προλελοιπότες οἴκους,
ἔρχονται βιότοιο κεχρημένοι, ὅππότ᾽ ἄρουραι,
λήϊα κειράμεναι, καρπῶν πλήθουσιν ἅλωαί·
οἱ δ᾽ αὐτοὶ πυροῖο νεοτριβὲς ἄχθος ἔχουσιν,
ἢ κριθῶν· αἰεὶ δὲ φέρων φορέοντα διάπει.
ἐκ θέρεος ποτὶ χεῖμα βορὴν σφετέρην ἐπάγοντες,
ἄτρυτοι· φῦλον δ᾽ ὀλίγον τελέθει πολύμοχθον.
κάμνει δ᾽ ἠεροφοῖτις ἀριστοπόνος τε μέλισσα
ἠὲ πέτρης κοίλης κατὰ χηραμόν, ἢ δονάκεσσιν,
ἢ δρυὸς ὠγυγίης κατὰ κοιλάδος, ἔνδοθι σίμβλων
σμήνεσι μυριόκρητα κατ᾽ ἄγγεα πηροδομοῦσα.

Μὴ μείρῃς ἄγαμος, μή πως νώνυμνος ὄληαι.
δός τι φύσει κ᾽ αὐτός· τέκε δ᾽ ἔμπαλιν, ὡς ἐλοχεύθης.

Μὴ προαγωγεύσῃς ἄλοχον σέο, τέκνα μιαίνων·
οὐ γὰρ τίκτει παῖδας ὁμοίους μοιχικὰ λέκτρα.
μητρυιῆς μὴ ψαῦε τὰ δεύτερα λέκτρα γονῆος·
μητέρα δ᾽ ὡς, τίμα τὴν μητέρος ἴχνια βᾶσαν.
μηδὲ κασιγνήτης ἐς ἀπάτροπον ἔλθέμεν εὐνήν.
μηδ᾽ ἐπὶ παλλακίσιν πατρὸς λεχέεσσι μιγείης.
μηδὲ γυνὴ φθείρῃ βρέφος ἔμβρυον ἔνδοθι γαστρὸς,
μηδὲ τεκοῦσα κυσὶ φίψῃ καὶ γυψὶν ἕλωρα.
μηδ᾽ αὖ παιδογόνον ποτὲ τέμνειν ἄρσενα κοῦρον.
μηδὲ τεῇ ἀλόχῳ ἐγκύμονι χεῖρα βάλοιο.
μηδ᾽ ἀλόγοις ζώοισι βατήριον ἐς λέχος ἔλθοις.
μηδ᾽ ὕβριζε γυναῖκα ἐπ᾽ αἰσχυντοῖς χείλεσσι.
μὴ παραβῇς εὐνὰς φύσεως ἐς κύπριν ἄθεσμον.
οὐδ᾽ αὐτοῖς θήρεσσι συνεύαδον ἄρσενες εὖναι.
μηδέ τι θηλύτεραι λέχος ἀνδρῶν μιμήσαιντο.

μηδ' ἐς ἔρωτα γυναικὸς ἅπας ξεύσης ἀκάθεκτον.
οὐ γὰρ ἔρως θεός ἐστι, πάθος δ' ἀΐδηλον ἁπάντων.
μηδὲ κασιγνήτων ἀλόχων ἐπὶ δέμνια βαίνειν.
στέργε τεὴν ἄλοχον· τί γὰρ ἡδύτερον καὶ ἄρειον,
ἢ ὅταν ἀνδρὶ γυνὴ φρονέῃ φίλα γήραος ἄχρι,
καὶ πόσις ἢ ἀλόχῳ, μηδ' ἐμπέσῃ ἄνδιχα νεῖκος;
μηδέ τις ἀμνήστευτα βίῃ κούρῃσι μιγείη.

Μηδὲ γυναῖκα κακὴν πολυχρήματον οἶκαδ' ἄγεσθαι,
λατρεύειν δ' ἀλόχῳ λυγρῆς χάριν εἵνεκα φερνῆς.
ἵππους εὐγενέας δίζεσθαι μὲν κατὰ οἶκον,
ταύρους δ' ὑψιτένοντας, ἀτὰρ σκυλάκων παναγρείους·
γῆμαι δ' οὐκ ἀγαθὴν ἐριδαίνομεν ἀφρονέοντες·
οὐδὲ γυνὴ κακὸν ἄνδρ' ἀπαναίνεται ἀφνεὸν ὄντα.
μηδὲ γάμῳ γάμον ἄλλον ἄγοις, ἐπὶ πήματι πῆμα.

Μηδ' ἀμφὶ κτεάνων συνομαίμοσιν εἰς ἔρη ἔλθοις.
Παισὶ δὲ μὴ χαλέπαινε τεοῖς, ἀλλ' ἤπιος ἔσθι·
ἢν δέ τι παῖς ἀλίτῃ, κωλυέτω υἱέα μήτηρ,
ἢ καὶ πρεσβύτατοι γενεῆς, ἢ δημογέροντες.

Μὴ μὲν ἐπ' ἄρσενι παιδὶ τρέφειν πλοκάμους ἐπὶ χαίτης·
μὴ κορυφὴν πλέξῃς, μήθ' ἅμματα λοξὰ κορύμβων.
ἄρσεσιν οὐκ ἐπέοικε κόμη, χλιδαὶ δὲ γυναιξί.

Παιδὸς δ' εὐμόρφου φρουρεῖν νεοτήσιον ὥρην.
πολλοὶ γὰρ λυσσῶσι πρὸς ἄρσενα μίξιν ἔρωτος.
παρθενικὴν δὲ φύλασσε πολυκλείστοις θαλάμοισι·
μηδέ μιν ἄχρι γάμων πρὸ δόμων ὀφθῆναι ἐάσῃς.
κάλλος δυστήρητον ἔφυ παίδων τοκέεσσιν.

Συγγενέσι φιλότητα νέμοις, ὁσίην θ' ὁμόνοιαν.
αἰδεῖσθαι πολιοκροτάφους, εἴκειν δὲ γέρουσιν
ἕδρης καὶ γεράων πάντων· γενεῇ δ' ἀτάλαντον
πρέσβυν ὁμήλικα πατρὸς ἴσαις τιμαῖσι γέραιρε.
Γαστρὸς ὀφειλόμενον δασμὸν παρέχου θεράπουσι.
δούλῳ τακτὰ νέμοις, ἵνα τοι καταθύμιος εἴῃ.
στίγματα μὴ γράψῃς, ἐπονειδίζων θεράποντα.
δοῦλον μὴ βλάψῃς, τι κακηγορέων πρὸς ἄνακτα.
λάμβανε καὶ βουλὴν παρὰ οἰκέτου εὖ φρονέοντος.
Ἁγνείη ψυχῆς, τοῦ σώματός ἐστι καθαρμός.
Ταῦτα δικαιοσύνης μυστήρια· τοῖα βιεύντες
ζωὴν ἐκτελέοιτ' ἀγαθὴν μέχρι γήραος οὐδοῦ.

ΤΕΛΟΣ ΤΩΝ ΝΟΥΘΕΣΙΩΝ.

ΝΑΥΜΑΧΙΟΥ
ΓΑΜΙΚΑ ΠΑΡΑΓΓΕΛΜΑΤΑ.

Καλὸν μὲν δέμας ἁγνὸν ἔχειν, ἄδμητά τε μίμνειν
παρθενικήν, καθαροῖσί τ' ἀεὶ μελεδήμασι χαίρειν,
μήτε βαρυτλήτων λαγόνων περὶ φόρτον ἄγουσαν,
μήτε πόνον τρομέουσαν ἀγάστονον Εἰλειθυίης,
ἀλλ' ἧσθαι βασίλειαν ἀφαυρῶν θηλυτεράων,
ψυχῆς ὄμμα φαεινὸν ὑπὲρ βιότοιο χέουσαν,
ἔνθα γάμοι κεδνοὶ καὶ ἀληθέες, ἔνθα μιγεῖσα
θεσπεσίοις ἐπέεσσι νοήματα φαίδιμα τίκτει.
εἰ δέ σε καὶ ξυνοῖο πόθος βιότοιο κιχάνοι,
καὶ τοῦτο προδαεὶς ἐρέω, πῶς χρή σε περῆσαι
τὸν πλοῦν, ὥς φασιν, τὸν δεύτερον ἔμφρονι θυμῷ.

Ἔστω σοι πόσις οὗτος, ὃν ἂν κρίνωσι τοκῆες.
κἂν μὲν ἕῃ πινυτός, σὺ μακαρτάτη· εἰ δέ κεν ἄλλως
ἀνέρα μοιρήσαιο, φέρειν καὶ τοῦτον ἀνάγκη.
ἀλλ' ἢν μέν τίς σοι πεπνυμένος, ὅ τι κεν εἴπῃ,
πείθεο· μηδ' ἔστω βίος ἄνδιχα. γίγνεο δ' αὐτῷ
μειλιχίη, καὶ μᾶλλον ὅταν τι ἓ κῆδος ἱκάνῃ·
ἀνδρὶ γὰρ ἀσχαλόωντι παραίφασίς ἐστιν ἄκοιτις.
λεῖπε δέ οἱ τὰ θύρηφι, τὰ καὶ δύναται πονέεσθαι·
σοὶ δ' οἰκωφελίη μελέτω, μέγαρόν τε φυλάσσειν.
μηδέ μιν ἐξερέεινε, τὰ μὴ θέμις ἐστὶ γυναῖκας

ἴδμεναι· εἰ δ' αὐτός σ' ἐθέλει συμφράδμονα θέσθαι,
σύνθεο μὲν τάχα μύθῳ, ἀμείβεο δ' ὀψὲ, σὺν αὐτῷ
φραζομένη, καὶ μηδὲν ὑπίσχεο, μηδὲ κέλευε
σῇ ῥέζειν ἰότητι· τὸ γὰρ τέλος ἐστὶν ἀφαυρόν.
κουρίδιος πινυτῇ πόσις ἄρκιος, οὐδέ τ' ἐκείνην
δεύτερος ἀθρήσει λεχέων ἔπι γυμνωθεῖσαν.
πρῶτα μὲν ἀφραίνοντος ἀνάσχεο, καὶ γὰρ ἀνάγκη.
πολλάκι που καὶ νοῦσον ἀνάσχεο κηδομένη περ.
ἔσχεο δ' ἐν στέρνοις τὰ σὰ κήδεα, μηδ' ἀγόρευε
πᾶσιν ὅσα πρήσσει, μηδ' ἔννεπε πάντα τοκεῦσι.
μούνη δ' ἀφραδέοντα πινυσσέμεν, ἀλλὰ κατ' αἶσαν.
καὶ πινυτὸν δεδάηκ' ἐρεθιζέμεν ἀνέρα λώβη·
πολλάκι δ' ἤπιος ἄνδρα καὶ ἄφρονα μῦθος ἔθελξεν.
εἰ δ' ὀλοοῖς ἑτάροισιν ἐφεσπόμενος κακὸς εἴη,
μὴ σὺ μὲν ἀντιβίην κείνου, τέκος, εἰς ἔριν ἔλθῃς·
ἀλλ' ἑτάρους ὄτρυνε μετὰ σφίσι νείκεα βάλλειν.
ῥηϊδίη δ' ὁδὸς ἥδε διακρῖναι φιλότητα
λευγαλέην, ἑτάροις δὲ φίλον ἀγαθοῖσι γενέσθαι.
σῇ πινυτῇ. τίς γάρ κεν ἑκὼν φίλον ἄφρονα θεῖτο;
καὶ σὺ μὲν ὡς φίλον ἄνδρα καὶ ἀτρεκέως ἀγάπαζε.
γνώτω δ' ἀμφαδίην καὶ σὸς πόσις, ὅττι γε τέκνα
ἐκ θυμοῦ φιλέεις· ἐπεὶ οὔ τι γε τοῖος ἐτύχθη
οἷος ἔχειν φιλότητα, καὶ ἤθεα πιστὰ δαῆναι.
παρθενικὴ σὺ, δ' ἄκουε, τά σε χρὴ πάντα φυλάσσειν.
μήτε φιλομμειδὴς μάλα γίγνεο, μήτε κατηφής.
μήτ' ἔσο πάμπαν ἄεργός, ἄλις δ' ἔχε καὶ πόνου ἔργον.
μήτε κακὴ δμώεσσι τεοῖς ἔσο· μήτε μάλ' ἐσθλὴ
φαίνεο. ῥηΐτεροι γὰρ ἀεί που πῆμα φέρονται.
θάρσεϊ δειδιότων μάλ' ἐπικρατέουσιν ἄνακτες.

ἐθνείων φιλότητας ἀναίνεο, πρίν κεν ἀπ' ἄλλων
εἰδείης ἐτύμως μελεδήματα καὶ νόον αὐτῶν.
μήτε γραῦν ποτὲ σοῖσι κακὴν δέξαιο μελάθροις.
πολλῶν γρῆες ἔπερσαν ἐΰκτιτα δώματα φώτων.
μηδὲ μὲν ἀκριτόμυθον ἑταιρίσσαιο γυναῖκα.
κεδνὰ κακοὶ φθείρουσι γυναικῶν ἤθεα μῦθοι.
μὴ σύ ποτε χρυσῷ περιμαίνεο, μήτ' ἐπὶ δειρῇ
πορφυρέην ὑάκινθον ἔχοις, ἢ χλωρὸν ἴασπιν.
χρυσός τοι κόνις ἐστὶ, καὶ ἄργυρος· οἱ δὲ καὶ αὐτοὶ
λᾶες ἐπὶ ῥηγμῖνι πολυψηφῖδι θαλάσσης.
πολλοὶ δ' ἐρύφαται ποταμῶν παρὰ χείλεσιν αὖτως
αἵματα· δ' εἰναλίης ἐρυθαίνεται αἵματι κόχλου·
τοῖς ἔπι φυσιόωσιν ἀλίφρονες. ἀλλὰ σὺ κόσμου,
παρθενέ, τηΰσιου μὴ δεύεο, μηδὲ κατόπτρῳ
χειρὶ διακρίνουσα τεὴν αὐγάζεο μορφὴν,
μηδὲ κόμης περίαλλα πολυσχιδέας πλέκε σειρὰς,
μηδὲ μέλαινε τεοῖσιν ὑπὸ βλεφάροισιν ὀπωπάς.
οὐ γὰρ θηλυτέραις φύσις ἄπασεν ἡμιτέλεστον
μορφὴν, ὅφρα καὶ ἄλλα περὶ χροΐ τεχνήσαιντο.
πῶς δ' ἂν, κοῦρα, δύναιο δαήμονι φωτὶ φανῆναι,
θνητὸν ἐφημερίῃ κομιδῇ χρόα ποικίλλουσα;
ἐξ ἑτέρης ἑτέρην σε, καὶ ἄλλην ἄλλοτε λεύσσει,
φαινομένην πολλῇσι μίαν μορφῇσι γυναῖκα.

ΕΚ ΤΩΝ ΛΙΝΟΥ

I.

Φράζεο δὴ, σπουδὴν ἐντυναμενος δι' ἀκουῆς
μύθων ἡμετέρων, ἀτραπὸν περὶ παντὸς ἀληθῆ,
κῆρας ἀπωσάμενος πολυπήμονας, αἵ τε βεβήλων
ὄχλον ἀϊστῶσαι, ἄταις περὶ πάντα πεδῶσι
παντοίαις, μορφῶν χαλεπῶν ἀπατήματ' ἔχουσαι·
τὰς μὲν ἀπὸ ψυχῆς εἴργειν φυλακαῖσι νόοιο.
οὗτος γάρ σε καθαρμὸς ἀπ' ἀμπλακιῶν δσιώσει,
εἴ κεν ἀληθείῃ μισῇς ὅλοὸν γένος αὐτῶν.
νηδὺν μὲν πρώτιστ' αἰσχρῶν δώτειραν ἁπάντων,
ἣν ἐπιθυμία ἡνιοχεῖ μάργοισι χαλινοῖς.

II.

Ἔλπεσθαι χρὴ πάντ', ἐπεὶ οὐκ ἔστ' οὐδὲν ἄελπτον.
ῥᾴδια πάντα θεῷ τελέσαι, καὶ ἀνήνυτον οὐδέν.

ΠΑΝΥΑΣΙΔΟΣ ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ.

I.

Ξεῖν' ἄγε δὴ καὶ πῖν'· ἀρετή νυ τις ἔστι καὶ αὔτη,
ὅς κ' ἀνδρῶν πολὺ πλεῖστον ἐν εἰλαπίνῃ μέθυ πίνῃ
εὖ καὶ ἐπισταμένως, ἅμα τ' ἄλλον φῶτα κελεύῃ.
ἶσόν θ' ὅς τ' ἐν δαιτὶ καὶ ἐν πολέμῳ θοὸς ἀνὴρ
ὑσμίνας διέπων ταλαπενθέας, ἔνθα τε παῦροι
θαρσαλέοι τελέθουσι, μένουσί τε θοῦρον Ἄρηα·
τοῦ κεν ἐγὼ θείμην ἶσον κλέος, ὅς τ' ἐνὶ δαιτὶ
τέρπηται παρεών, ἅμα τ' ἄλλον λαὸν ἀνώγῃ.
οὐ γάρ μοι ζώειν γε δοκεῖ βροτὸς, ἠὲ βιῶναι
ἀνθρώποιο βίον ταλασίφρονος, ὅς τις ἀπ' οἴνου
θυμὸν ἐρητύσας, πίνει ποτὸν ἄλλο νεόφρων.
οἶνος γὰρ πυρὶ ἶσον ἐπιχθονίοισιν ὄνειαρ,
ἐσθλὸν, ἀλεξίκακον, πάσης συνοπηδὸν ἀοιδῆς.
ἐν μὲν γὰρ θαλίης ἱερὸν μέρος, ἀγλαΐης τε,
ἐν δὲ χοροιτυπίης, ἐν δ' ἱμερτῆς φιλότητος.
τῷ σε χρὴ παρὰ δαιτὶ δεδεγμένον εὐφρονι θυμῷ
πίνειν, μηδὲ βορῆς κεκορημένον, ἠΰτε γῦπα,
ἧσθαι πλήμμυρονται, λελησμένον εὐφροσυνάων.

II.

Οἶνος δὲ θνητοῖσι θεῶν πάρα δῶρον ἄριστον,
ἀγλαὸς, ᾧ πᾶσαι μὲν ἐφαρμόζουσιν ἀοιδαὶ,
πάντες δ᾽ ὀρχηθμοὶ, πᾶσαι δ᾽ ἑρατὴ φιλότητες·
πάσας δ᾽ ἐκ κραδίης ἀνδρῶν ἀλαπάζει ἀνίας
πινόμενος κατὰ μέτρον· ὑπὲρ μέτρον δὲ χερείων.

III.

Τοῦ κεράσας κρητῆρα μέγαν χρυσοῖο φαεινὸν,
σκύπφους αἰνύμενος θαμέας ποτὸν ἡδὺν ἔπινε.

PIANOY.

I.

Ἦ ἄρα δὴ μάλα πάντες ἁμαρτίνοοι πελόμεσθα
ἄνθρωποι, φέρομεν δὲ θεῶν ἑτεροῤῥόπα δῶρα
ἀφραδέϊ κραδίῃ. βιότοιο μὲν ὅς κ᾽ ἐπιδευὴς
στρωφᾶται, μακάρεσσι ἐπὶ ψόγον αἰνὸν ἰάπτει,
ἀχνύμενος· σφετέρην δ᾽ ἀρετὴν καὶ θυμὸν ἀτίζει,
οὐδέ τι θαρσαλέος νοέειν ἔπος, οὐδέ τι ῥέξαι,
ἐῤῥιγὼς, ὅταν ἄνδρες ἐχεκτέανοι παρέωσι·
καί οἱ θυμὸν ἔδουσι κατηφείη καὶ ὀϊζύς.
ὅς δέ κεν εὐοχθῆσι, θεὸς δ᾽ ἐπὶ ὄλβον ὀπάζῃ
καὶ πολυκοιρανίην, ἐπιλήθεται οὔνεκα γαῖαν
ποσσὶν ἐπιστείβει, θνητοὶ δέ οἱ εἰσὶ τοκῆες.
ἀλλ᾽ ὑπεροπλίῃ καὶ ἁμαρτωλῇσι νόοιο

ἶσα Διῒ βρομέει, κεφαλὴν δ' ὑπὲρ αὐχένας ἴσχει,
καί περ ἐὼν ὀλίγος· μνᾶται δ' εὔπηχυν Ἀθήνην,
ἠέ τιν' ἀτραπιτὸν τεκμαίρεται Οὐλυμπόνδε,
ὅς κε μετ' ἀθανάτοις ἐναρίθμιος εἰλαπινάζῃ.
ἣ δ' Ἄτη ἁπαλοῖσι μετατρωχῶσα πόδεσσιν
ἄκρης ἐν κεφαλῇσιν ἀνάϊστος καὶ ἄφαντος,
ἄλλοτε μὲν γραίῃσι νεωτέρῃ, ἄλλοτε δ' αὖτε
ὁπλοτέρῃσι γρῆυς ἐφίσταται ἀμπλακίῃσι,
Ζηνὶ θεῶν κρείοντι, Δίκῃ τ' ἐπίηρα φέρουσα.

II.

αἵτας Δωτέττινοι, ἰδ' ὄτρηροὶ Κεραϊ

III.

ἔπ[ε]α δὲ Δωτέττινοι, ἄταρ ὀκτὼ καὶ δέκ[α]

IV.

Πύρραν θ' ἣ τότε τήν γε παλαιότεροι καλέεσκον,
Πύρρης Δευκαλίωνος ἀπ' ἀρχαίης ἀλόχοιο.
Αἵμ[ο]νίην θ' ἣν εἶπε τις ἀμφ' Αἴμονος, ὅν ῥα Πελασγὸ
γείνατο, φέρτατον υἱόν· ὃ δ' αὖ τέκε Θεσσαλὸν
τοῦ δ' ἀπὸ Θεσσαλίην λαὸς μετεφημίζετο Αἰμων.

V.

τοὶ δ' ἐπὶ τὴν εὐανήμιδας Ἰτώνης.

VI.

παρ' τε τρηχὺν Ἐλάτιον, ὑπὲρ δρυμόν τε Λυ

ἀμφὶ περὶ πτύχας ἐστρατόωντ[ο]
γουνά τε πολλὰς τε δύω καὶ εἴκοσι πα[ρ]
αὐτὴ ἐσάμενος Δωτὴ γ' ἱκοτελείη.

Vide etiam Antiq. V. 34. 173. 278. VII. 3[.]

ΕΥΗΝΟΥ ΠΑΡΙΟΥ.

I. A. 23.

Πολλοῖς ἀντιλέγειν μὲν ἔθος περὶ παντὸς δμοίως·
ὀρθῶς δ' ἀντιλέγειν, οὐκ ἔτι τοῦτ' ἐν ἔθει.
καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος εἷς ὁ παλαιός·
„Σοὶ μὲν ταῦτα δοκοῦντ' ἐστὶν, ἐμοὶ δὲ τάδε."

II. A. 23.

Τοὺς ξυνετοὺς δ' ἄν τις πείσειε τάχιστα λέγων εὖ,
οἵπερ καὶ ῥᾴστης εἰσὶ διδασκαλίας.

III. A. 24.

Πρὸς σοφίᾳ μὲν ἔχειν τόλμαν, μάλα σύμφορόν ἐστι·
χωρὶς δὲ, βλαβερὴ, καὶ κακότητα φέρει.

IV. A. 22.

Πολλάκις ἀνθρώπων ὀργὴ νόον ἐξεκάλυψε
κρυπτόμενον, μανίας πουλὺ χερειότερον.

V.

Φημὶ πολυχρονίην μελέτην ἔμεναι, φίλε· καὶ δὴ
ταύτην ἀνθρώποισι τελευτῶσαν φύσιν εἶναι.

Vid. . . . IX. 62. 75. 122. 251. 602. 717.
XI. 49. XII. 72. P. 165, 6.

ΕΚ ΤΩΝ ΚΑΛΛΙΜΑΧΟΥ.

I.

Ὤμοσεν. ἀλλὰ λέγουσιν ἀληθέα, τοὺς ἐν ἔρωτι
ὅρκους μὴ δύνειν οὔατ' ἐς ἀθανάτων.

II.

Καὶ γὰρ ἐγὼ τὰ μὲν ὅσσα καρήατι τῆμος ἔδωκα,
ξάνθε, σὺν εὐόδμοις ἅβρὰ λίπη στεφάνοις,
ἄπνοα πάντ' ἐγένοντο παραχρῆμ'· ὅσσα τ' ὀδόντων
ἔνδοθι, νειαίραν τ' εἰς ἀχάριστον ἔδυ,
καὶ τῶν οὐδὲν ἔμεινεν ἐς αὔριον. ὅσσα δ' ἀκουαῖς
εἰσεθέμην, ἔτι μοι μοῦνα πάρεστι τάδε.

III.

Δὶς τοῖς μίκκοις μικκα διδοῦσι θεοί.

ΕΡΑΤΟΣΘΕΝΟΥΣ ΚΥΡΗΝΑΙΟΥ.

Οἶνός τοι πυρὶ ἶσον ἔχει μένος, εὖτ' ἂν ἐς ἄνδρα
ἔλθῃ· νυμαίνει δ', οἷά Λίβυσσαν ἄλα
Βορρᾶς ἠὲ Νότος· τὰ δὲ καὶ κεκρυμμένα φαίνει
βυσσόθεν, ἐκ δ' ἀνδρῶν πάντ' ἐτίναξε νόον.

ΜΕΝΕΚΡΑΤΟΥΣ ΣΑΜΙΟΥ.

I.

Γῆρας ἐπὴν μὲν ἀπῇ, πᾶς εὔχεται· ἢν δέ ποτ' ἔλθῃ,
μέμφεται· ἔστι δ' ἀεὶ κρεῖσσον ὀφειλόμενον.

II.

Εἴ τις γηράσας ζῆν εὔχεται, ἄξιός ἐστι
γηράσκειν πολλὰς εἰς ἐτέων δεκάδας.

ΠΟΣΕΙΔΙΠΠΟΥ.

IX. 359.

Ποίην τις βιότοιο τάμῃ τρίβον; εἰν ἀγορῇ μὲν
νείκεα καὶ χαλεπαὶ πρήξιες· ἐν δὲ δόμοις
φροντίδες· ἐν δ' ἀγροῖς καμάτων ἅλις· ἐν δὲ θαλάσσῃ
τάρβος. ἐπὶ ξείνης δ', ἢν μὲν ἔχῃς τι, δέος·
ἢν δ' ἀπορῇς, ἀνιηρόν. ἔχεις γάμον; οὐκ ἀμέριμνος
ἔσσεαι. οὐ γαμέεις; ζήσῃ ἐρημότερος.
τέκνα, πόνοι· πήρωσις, ἄπαις βίος. αἱ νεότητες
ἄφρονες· αἱ πολιαὶ δ' ἔμπαλιν ἀδρανέες.
ἦν ἄρα τοῖνδε δυοῖν ἑνὸς αἵρεσις, ἢ τὸ γενεσθαι
μηδέποτ', ἢ τὸ θανεῖν αὐτίκα τικτόμενον.

[illegible] Y. 134. 83, 6. 94. 202, 9, 11, 13.
YII. 170. 267. IX. 359. XII. 45. 77. 98. 120. 31. 68. P. 68
119. 275. A. 64–68.

ΜΗΤΡΟΔΩΡΟΥ.

ΕΚ ΤΟΥ ΕΝΑΝΤΙΟΥ.

IX. 360 *

Παντοίην βιότοιο τάμοις τρίβον. εἰν ἀγορῇ μὲν
κύδεα καὶ πινυταὶ πρήξιες· ἐν δὲ δόμοις
ἄμπαυμ'· ἐν δ' ἀγροῖς Φύσιος χάρις· ἐν δὲ θαλάσσῃ
κέρδος. ἐπὶ ξείνης, ἢν μὲν ἔχῃς τι, κλέος·

[illegible] IX. [illegible] XIV. 116–146

ἢν δ' ἀπορῇς, μόνος οἶδας. ἔχεις γάμον; οἶκος
ἄριστος
ἔσσεται· οὐ γαμέεις; ζῇς ἔτ' ἐλαφρότερον.
ἔκνα, πόθος· ἄφροντις ἅπαις βίος. αἱ νεότητες
ῥωμαλέαι· πολιαὶ δ' ἔμπαλιν εὐσεβέες.
οὐκ ἄρα τῶν δισσῶν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
μηδέποτ', ἢ τὸ θανεῖν. πάντα γὰρ ἐσθλὰ βίου.

ΚΛΕΑΝΘΟΥΣ
ΥΜΝΟΣ ΕΙΣ ΔΙΑ.

Κύδιστ' ἀθανάτων, πολυώνυμε, παγκρατὲς αἰεὶ
Ζεῦ, φύσεως ἀρχηγέ, νόμου μέτα πάντα κυβερνῶν,
χαῖρε· σὲ γὰρ πάντεσσι θέμις θνητοῖσι προσαυδᾶν.
ἐκ σοῦ γὰρ γένος ἐσμέν, ἐπῆς μίμημα λαχόντες
μοῦνον, ὅσα ζώει τε καὶ ἕρπει θνήτ' ἐπὶ γαῖαν.
τῷ σε καθυμνήσω, καὶ σὸν κράτος αἰὲν ἀείσω.
σοὶ δὴ πᾶς ὅδε κόσμος ἑλισσόμενος περὶ γαῖαν
πείθεται, ᾗ κεν ἄγῃς, καὶ ἑκὼν ὑπὸ σεῖο κρατεῖται.
τοῖον ἔχεις ὑποεργὸν ἀνικήτοις ἐνὶ χερσὶν
ἀμφήκη, πυρόεντα, ἀειζώοντα κεραυνόν.
τοῦ γὰρ ὑπὸ πληγῆς φύσεως πάντ' ἐρρίγασιν,
ᾗ σὺ κατευθύνεις κοινὸν λόγον, ὃς διὰ πάντων
φοιτᾷ, μιγνύμενος μεγάλοις μικροῖς τε φάεσσιν.
ὃς τόσσος γεγαὼς ὕπατος βασιλεὺς διὰ παντὸς - -
- - - - - - - - - - - - - - -
οὐδέ τι γίγνεται ἔργον ἐπὶ χθονὶ σοῦ δίχα, δαῖμον,
οὔτε κατ' αἰθέριον θεῖον πόλον, οὔτ' ἐνὶ πόντῳ,
πλὴν ὁπόσα ῥέζουσι κακοὶ σφετέρῃσιν ἀνοίαις·
ἀλλὰ σὺ καὶ τὰ περισσὰ ἐπίστασαι ἄρτια θεῖναι.

καὶ κοσμεῖς τὰ ἄκοσμα, καὶ οὐ φίλα σοὶ φίλα ἐστίν.
ὧδε γὰρ εἰς ἓν ἅπαντα συνήρμοκας ἐσθλὰ κακοῖσιν,
ὥσθ' ἕνα γίγνεσθαι πάντων λόγον αἰὲν ἐόντα,
ὃν φεύγοντες ἐῶσιν, ὅσοι θνητῶν κακοί εἰσι,
δύσμοροι, οἵτ' ἀγαθῶν μὲν ἀεὶ κτῆσιν ποθέοντες,
οὔτ' ἐσορῶσι θεοῦ κοινὸν νόμον, οὔτε κλύουσιν,
ᾧ κεν πειθόμενοι σὺν νῷ βίον ἐσθλὸν ἔχοιεν.
αὐτοὶ δ' αὖ ὁρμῶσιν ἄνευ καλοῦ ἄλλος ἐπ' ἄλλα,
οἱ μὲν ὑπὲρ δόξης φιλοτιμίην δυσέριστον ἔχοντες,
οἱ δ' ἐπὶ κερδοσύνας τετραμμένοι οὐδενὶ κόσμῳ,
ἄλλοι δ' εἰς ἄνεσιν, καὶ σώματος ἡδέα ἔργα,
σπεύδοντες μάλα πάμπαν ἐναντία τῶνδε γενέσθαι.
ἀλλὰ Ζεῦ πάνδωρε, κελαινεφὲς, ἀρχικεράυνε,
ἀνθρώπους ῥῦσαι ἀπειροσύνης ἀπὸ λυγρῆς,
ἣν σὺ, πάτερ, σκέδασον ψυχῆς ἄπο, δὸς δὲ κυρῆσαι
γνώμης, ᾗ πίσυνος σὺ δίκης μετὰ πάντα κυβερνᾷς,
ὄφρ' ἂν τιμηθέντες ἀμειβώμεσθά σε τιμῇ,
ὑμνοῦντες τὰ σὰ ἔργα διηνεκὲς, ὡς ἐπιοικὲ
θνητὸν ἐόντ'· ἐπεὶ οὔτε βροτοῖς γέρας ἄλλο τι μεῖζον,
οὔτε θεοῖς, ἢ κοινὸν ἀεὶ νόμον ἐν δίκῃ ὑμνεῖν.

ΗΣΙΟΔΟΥ

ΕΡΓΑ ΚΑΙ ΗΜΕΡΑΙ.

Οὐκ ἄρα μοῦνον ἔην ἐρίδων γένος, ἀλλ' ἐπὶ γαῖαν
εἰσὶ δύω· τὴν μέν κεν ἐπαινήσειε νοήσας·
ἡ δ' ἐπιμωμητή· διὰ δ' ἄνδιχα θυμὸν ἔχουσιν.
ἡ μὲν γὰρ πόλεμόν τε κακὸν καὶ δῆριν ὀφέλλει,
σχετλίη· οὔ τις τήνγε φιλεῖ βροτός, ἀλλ' ὑπ' ἀνάγκη
ἀθανάτων βουλῇσιν ἔριν τιμῶσι βαρεῖαν.
τὴν δ' ἑτέρην προτέρην μὲν ἐγείνατο Νὺξ ἐρεβεννὴ
θῆκε δέ μιν Κρονίδης ὑψίζυγος, αἰθέρι ναίων,
γαίης ἐν ῥίζῃσι καὶ ἀνδράσι, πολλὸν ἀμείνω·
ἥ τε καὶ ἀπάλαμόν περ ὁμῶς ἐπὶ ἔργον ἐγείρει.
εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο κατίζων
πλούσιον, ὃς σπεύδει μὲν ἀρόμεναι ἠδὲ φυτεύειν,
οἶκόν τ' εὖ θέσθαι· ζηλοῖ δέ τε γείτονα γείτων
εἰς ἄφενον σπεύδοντ'· ἀγαθὴ δ' ἔρις ἥδε βροτοῖσι.
καὶ κεραμεῖ κεραμεὺς κοτέει, καὶ τέκτονι τέκτων,
καὶ πτωχὸς πτωχῷ φθονέει, καὶ ἀοιδὸς ἀοιδῷ.

Ὦ Πέρση, σὺ δὲ ταῦτα τεῷ ἐνικάτθεο θυμῷ·
μηδέ σ' ἔρις κακόχαρτος ἀπ' ἔργου θυμὸν ἐρύκοι
νείκε' ὀπιπτεύοντ', ἀγορῆς ἐπακουὸν ἐόντα.

ὥρη γάρ τ' ὀλίγη πέλεται νεικέων τ' ἀγορέων τε,
ᾧ τινι μὴ βίος ἔνδον ἐπηετανὸς κατάκειται
ὡραῖος, τὸν γαῖα φέρει, Δημήτερος ἀκτήν,
τοῦ κεκορεσσάμενος νείκεα καὶ δῆριν ὀφέλλοις
κτήμασ' ἐπ' ἀλλοτρίοις. σοὶ δ' οὐκ ἔτι δεύτερον ἔσται
ὧδ' ἔρδειν· ἀλλ' αὖθι διακρινώμεθα νείκος
ἰθείῃσι δίκαις, αἵ τ' ἐκ Διός εἰσιν ἄρισται.
ἤδη μὲν γὰρ κλῆρον ἐδασσάμεθ'· ἀλλὰ τὰ πολλὰ
ἁρπάζων ἐφόρεις, μέγα κυδαίνων βασιλῆας
δωροφάγους, οἳ τήνδε δίκην ἐθέλουσι δικάσσαι·
νήπιοι· οὐδὲ ἴσασιν, ὅσῳ πλέον ἥμισυ παντός,
οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.
κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι.
ῥηϊδίως γάρ κεν καὶ ἐπ' ἤματι ἐργάσαιο,
ὥστε σέ κ' εἰς ἐνιαυτὸν ἔχειν, καὶ ἀεργὸν ἐόντα.
αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ κατάθοιο,
ἔργα βοῶν δ' ἀπόλοιτο καὶ ἡμιόνων ταλαεργῶν.
ἀλλὰ Ζεὺς ἔκρυψε χολωσάμενος φρεσὶν ᾗσιν,
ὅττι μιν ἐξαπάτησε Προμηθεὺς ἀγκυλομήτης.
τοὔνεκ' ἄρ' ἀνθρώποισιν ἐμήσατο κήδεα λυγρά.
κρύψε δὲ πῦρ· τὸ μὲν αὖθις ἐΰς πάϊς Ἰαπετοῖο
ἔκλεψ' ἀνθρώποισι Διὸς παρὰ μητιόεντος
ἐν κοίλῳ νάρθηκι, λαθὼν Δία τερπικέραυνον.
τὸν δὲ χολωσάμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδώς,
χαίρεις πῦρ κλέψας, καὶ ἐμὰς φρένας ἠπεροπεύσας,
σοί τ' αὐτῷ μέγα πῆμα καὶ ἀνδράσιν ἐσσομένοισι.
τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακόν, ᾧ κεν ἅπαντες

τέρπωνται κατὰ θυμόν, ἐὸν κακὸν ἀμφαγαπῶντες.
Ὣς ἔφατ', ἐκ δ' ἐγέλασσε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Ἥφαιστον δ' ἐκέλευσε περικλυτὸν ὅττι τάχιστα
γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδήν,
καὶ σθένος, ἀθανάτῃσι δὲ θεαῖς εἰς ὦπα ἐΐσκειν
παρθενικῆς καλὸν εἶδος ἐπήρατον· αὐτὰρ Ἀθήνην
ἔργα διδασκήσαι, πολυδαίδαλον ἱστὸν ὑφαίνειν·
καὶ χάριν ἀμφιχέαι κεφαλῇ χρυσέην Ἀφροδίτην,
καὶ πόθον ἀργαλέον, καὶ γυιοβόρους μελεδῶνας·
ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος
Ἑρμείην ἤνωγε διάκτορον Ἀργειφόντην.
Ὣς ἔφαθ', οἱ δ' ἐπίθοντο Διῒ Κρονίωνι ἄνακτι.
αὐτίκα δ' ἐκ γαίης πλάσσε κλυτὸς Ἀμφιγυήεις
παρθένῳ αἰδοίῃ ἴκελον, Κρονίδεω διὰ βουλάς·
ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη·
ἀμφὶ δέ οἱ Χάριτές τε θεαὶ καὶ πότνια Πειθὼ
ὅρμους χρυσείους ἔθεσαν χροΐ· ἀμφὶ δὲ τήν γε
Ὧραι καλλίκομοι στέφον ἄνθεσιν εἰαρινοῖσι.
ἐν δ' ἄρα οἱ στήθεσσι διάκτορος Ἀργειφόντης
ψεύδεά θ', αἱμυλίους τε λόγους, καὶ ἐπίκλοπον ἦθος
τεῦξε, Διὸς βουλῇσι βαρυκτύπου· ἐν δ' ἄρα φωνὴν
θῆκε θεῶν κῆρυξ, ὀνόμηνε δὲ τήνδε γυναῖκα
Πανδώρην, ὅτι πάντες Ὀλύμπια δώματ' ἔχοντες
δῶρον ἐδώρησαν, πῆμ' ἀνδράσιν ἀλφηστῇσιν.
αὐτὰρ ἐπεὶ δόλον αἰπὺν ἀμήχανον ἐξετέλεσσεν,
εἰς Ἐπιμηθέα πέμπε πατὴρ κλυτὸν Ἀργειφόντην

δῶρον ἄγοντα θεῶν, ταχὺν ἄγγελον, οὐδ' Ἐπιμηθεὺς
ἐφράσαθ' ὡς οἱ ἔειπε Προμηθεὺς, μήποτε δῶρον
δέξασθαι παρὰ Ζηνὸς Ὀλυμπίου, ἀλλ' ἀποπέμπειν
ἔξοπίσω, μή που τι κακὸν θνητοῖσι γένοιτο.
αὐτὰρ ὁ δεξάμενος, ὅτε δὴ κακὸν εἶχ', ἐνόησε.
πρὶν μὲν γὰρ ζώεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
νόσφιν ἄτερθε κακῶν, καὶ ἄτερ χαλεποῖο πόνοιο,
νούσων τ' ἀργαλέων, αἵ τ' ἀνδράσι κῆρας ἔδωκαν.
ἀλλὰ γυνὴ χείρεσσι πίθου μέγα πῶμ' ἀφελοῦσα
ἐσκέδασ' · ἀνθρώποισι δ' ἐμήσατο κήδεα λυγρά.
μούνη δ' αὐτόθι Ἐλπὶς ἐν ἀρρήκτοισι δόμοισιν
ἔνδον ἔμεινε πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε
ἐξέπτη · πρόσθεν γὰρ ἐπέμβαλε πῶμα πίθοιο.
ἄλλα δὲ μυρία λυγρὰ κατ' ἀνθρώπους ἀλάληται.
πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα·
νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ ἠδ' ἐπὶ νυκτὶ
αὐτόματοι φοιτῶσι, κακὰ θνητοῖσι φέρουσαι
σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητιέτα Ζεύς.
οὕτως οὔ τι πού ἐστι Διὸς νόον ἐξαλέασθαι.
εἰ δ' ἐθέλεις, ἕτερόν τοι ἐγὼ λόγον ἐκπορυφώσω
εὖ καὶ ἐπισταμένως · σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν.
Ὡς ὁμόθεν γεγάασι θεοὶ θνητοί τ' ἄνθρωποι,
χρύσεον μὲν πρώτιστα γένος μερόπων ἀνθρώπων
ἀθάνατοι ποίησαν Ὀλύμπια δώματ' ἔχοντες.
οἳ μὲν ἐπὶ Κρόνου ἦσαν, ὅτ' οὐρανῷ ἐμβασίλευεν.
ὡς δὲ θεοὶ ζώεσκον, ἀκηδέα θυμὸν ἔχοντες,
νόσφιν ἄτερθε πόνων καὶ ὀϊζύος · οὐδέ τι δειλὸν
γῆρας ἐπῆν · αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
τέρποντ' ἐν θαλίῃσι κακῶν ἔκτοσθεν ἁπάντων.

θνῆσκον δ' ὡς ὕπνῳ δεδμημένοι· ἐσθλὰ δέ πάντα
τοῖσιν ἔην· καρπὸν δ' ἔφερε ζείδωρος ἄρουρα
αὐτομάτη πολλόν τε καὶ ἄφθονον· οἱ δ' ἐθελημοὶ
ἥσυχοι ἔργα νέμοντο σὺν ἐσθλοῖσιν πολέεσσιν.
αὐτὰρ ἐπειδὴ τοῦτο γένος κατὰ γαῖα κάλυψεν,
οἱ μὲν δαίμονες ἁγνοὶ ἐπιχθόνιοι καλέονται,
ἐσθλοὶ, ἀλεξίκακοι, φύλακες θνητῶν ἀνθρώπων,
πλουτοδόται· καὶ τοῦτο γέρας βασιλήϊον ἔσχον.

Δεύτερον αὖτε γένος πολὺ χειρότερον μετόπισθεν
ἀργύρεον ποίησαν Ὀλύμπια δώματ' ἔχοντες,
χρυσέῳ οὔτε φυὴν ἐναλίγκιον, οὔτε νόημα.
ἀλλ' ἑκατὸν μὲν παῖς ἔτεα παρὰ μητέρι κεδνῇ
ἐτρέφετ' ἀτάλλων μέγα νήπιος· ᾧ ἐνὶ οἴκῳ.
ἀλλ' ὅταν ἡβήσειε, καὶ ἥβης μέτρον ἵκοιτο,
παυρίδιον ζώεσκον ἐπὶ χρόνον, ἄλγε' ἔχοντες
ἀφραδίαις. ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐδύναντο
ἀλλήλων ἀπέχειν, οὐδ' ἀθανάτους θεραπεύειν
ἤθελον, οὐδ' ἔρδειν μακάρων ἱεροῖς ἐπὶ βωμοῖς,
ἦ θέμις ἀνθρώποισι κατ' ἤθεα. τοὺς μὲν ἔπειτα
Ζεὺς Κρονίδης ἔκρυψε, χολούμενος οὕνεκα τιμὰς
οὐκ ἐδίδουν μακάρεσσι θεοῖς οἳ Ὄλυμπον ἔχουσιν.
αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
τοὶ μὲν ἐπιχθόνιοι μάκαρες θνητοὶ καλέονται
δεύτεροι, ἀλλ' ἔμπης τιμὴ καὶ τοῖσιν ὀπηδεῖ.

Ζεὺς δὲ πατὴρ τρίτον ἄλλο γένος μερόπων ἀνθρώπων
χάλκειον ποίησ', οὐκ ἀργυρῷ οὐδὲν ὅμοιον,
ἐκ μελιάων, δεινόν τε καὶ ὄβριμον· οἷσιν Ἄρηος

ργ' ἔμελε στονόεντα, καὶ ὑβρίες· οὐδέ τι σῖτον
ἤσθιον, ἀλλ' ἀδάμαντος ἔχον κρατερόφρονα θυμὸν
ἄπλατοι· μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
τοῖς δ' ἦν χάλκεα μὲν τεύχεα, χάλκεοι δέ τε οἶκοι,
χαλκῷ δ' εἰργάζοντο· μέλας δ' οὐκ ἔσκε σίδηρος.
καὶ τοὶ μὲν χείρεσσιν ὑπὸ σφετέρῃσι δαμέντες
βῆσαν ἐς εὐρώεντα δόμον κρυεροῦ Ἄϊδαο,
νώνυμνοι· θάνατος δὲ καὶ ἐκπάγλους περ ἐόντας
εἷλε μέλας, λαμπρὸν δ' ἔλιπον φάος ἠελίοιο.

Αὖτάρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψεν,
αὖθις ἔτ' ἄλλο τέταρτον ἐπὶ χθονὶ πουλυβοτείρῃ
Ζεὺς Κρονίδης ποίησε δικαιότερον καὶ ἄρειον,
ἀνδρῶν ἡρώων θεῖον γένος, οἳ καλέονται
ἡμίθεοι, προτέρη γενεῇ, κατ' ἀπείρονα γαῖαν.
καὶ τοὺς μὲν πόλεμός τε κακὸς καὶ φύλοπις αἰνὴ,
τοὺς μὲν ἐφ' ἑπταπύλῃς Θήβῃ, Καδμηΐδι γαίῃ,
ὤλεσε μαρναμένους μήλων ἕνεκ' Οἰδιπόδαο·
τοὺς δὲ καὶ ἐν νήεσσιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης
εἰς Τροίην ἀγαγὼν, Ἑλένης ἕνεκ' ἠϋκόμοιο·
ἔνθ' ἤτοι τοὺς μὲν θανάτου τέλος ἀμφεκάλυψε.
τοῖς δὲ δίχ' ἀνθρώπων βίοτον καὶ ἤθε' ἀπάσσας
Ζεὺς Κρονίδης κατένασσε πατὴρ ἐς πείρατα γαίης·
καὶ τοὶ μὲν ναίουσιν ἀκηδέα θυμὸν ἔχοντες
ἐν μακάρων νήσοισι, παρ' Ὠκεανὸν βαθυδίνην,
ὄλβιοι ἥρωες· τοῖσι μελιηδέα καρπὸν
τρὶς ἔτεος θάλλοντα φέρει ζείδωρος ἄρουρα.

Μηκέτ' ἔπειτ' ὤφελον ἐγὼ πέμπτοισι μετεῖναι

ἀνδράσιν, ἀλλ' ἢ πρόσθε θανεῖν, ἢ ἔπειτα γενέσθαι
νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον· οὐδέ ποτ' ἦμαρ
παύσονται καμάτου καὶ ὀϊζύος, οὐδέ τι νύκτωρ
φθειρόμενοι· χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας.
ἀλλ' ἔμπης καὶ τοῖσι μεμίξεται ἐσθλὰ κακοῖσιν.
Ζεὺς δ' ὀλέσει καὶ τοῦτο γένος μερόπων ἀνθρώπων,
εὖτ' ἂν γεινόμενοι πολιοκρόταφοι τελέθωσιν.
οὐδὲ πατὴρ παίδεσσιν ὁμοίιος, οὐδέ τι παῖδες,
οὐδὲ ξεῖνος ξεινοδόκῳ, καὶ ἑταῖρος ἑταίρῳ,
οὐδὲ κασίγνητος φίλος ἔσσεται, ὡς τὸ πάρος περ.
αἶψα δὲ γηράσκοντας ἀτιμήσουσι τοκῆας·
μέμψονται δ' ἄρα τοὺς χαλεποῖς βάζοντ' ἐπέεσσι,
σχέτλιοι, οὐδὲ θεῶν ὄπιν εἰδότες· οὐδέ κεν οἵ γε
γηράντεσσι τοκεῦσιν ὑπὸ θρεπτήρια δοῖεν,
χειροδίκαι· ἕτερος δ' ἑτέρου πόλιν ἐξαλαπάξει.
οὐδέ τις εὐόρκου χάρις ἔσσεται, οὔτε δικαίου,
οὔτ' ἀγαθοῦ· μᾶλλον δὲ κακῶν δημῶτα, καὶ ὕβριν
ἀνέρα τιμήσουσι· δίκη δ' ἐν χερσὶ, καὶ αἰδὼς
οὐκ ἔσται· βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα,
μύθοισι σκολιοῖς ἐνέπων, ἐπὶ δ' ὅρκον ὀμεῖται·
ζῆλος δ' ἀνθρώποισιν ὀϊζυροῖσιν ἅπασιν
δυσκέλαδος κακόχαρτος ὁμαρτήσει στυγερώπης.
καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης
λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλὼ,
ἀθανάτων μετὰ φῦλον ἴτην, προλιποῦσ' ἀνθρώπους,
Αἰδὼς καὶ Νέμεσις· τὰ δὲ λείψεται ἄλγεα λυγρὰ
θνητοῖς ἀνθρώποισι· κακοῦ δ' οὐκ ἔσσεται ἀλκή.

Νῦν δ' αἶνον βασιλεῦσ' ἐρέω φρονέουσι καὶ
αὐτοῖς.

ὣδ' ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόγηρυν,
ὕψι μάλ' ἐν νεφέεσσι φέρων ὀνύχεσσι μεμαρπώς·
ἣ δ' ἐλεόν, γναμπτοῖσι πεπαρμένη ἄμφ' ὀνύχεσσι,
μύρετο· τὴν δ' ὄγ' ἐπικρατέως πρὸς μῦθον ἔειπε·
Δαιμονίη, τί λέληκας; ἔχει νύ σε πολλὸν ἀρείων.
τῇδ' εἶς, ἥ σ' ἂν ἐγὼ περ ἄγοι, καὶ ἀοιδὸν ἐοῦσαν·
δεῖπνον δ', αἴ κ' ἐθέλω, ποιήσομαι, ἠὲ μεθήσω.
Ὣς ἔφατ' ὠκυπέτης ἴρηξ, τανυσίπτερος ὄρνις.
ἄφρων δ', ὅς κ' ἐθέλῃ πρὸς κρείσσονας ἀντιφερίζειν·
νίκης τε στέρεται, πρός τ' αἴσχεσιν ἄλγεα πάσχει.
ὦ Πέρση, σὺ δ' ἄκουε δίκης, μηδ' ὕβριν ὄφελλε,
ὕβρις γάρ τε κακὴ δειλῷ βροτῷ· οὐδὲ μὲν ἐσθλὸς
ῥηϊδίως φερέμεν δύναται, βαρύθει δέ θ' ὑπ' αὐτῆς,
ἐγκύρσας ἄτῃσιν· ὁδὸς δ' ἑτέρῃφι παρελθεῖν
κρείσσων ἐς τὰ δίκαια· δίκη δ' ὑπὲρ ὕβριος ἴσχει,
ἐς τέλος ἐξελθοῦσα· παθὼν δέ τε νήπιος ἔγνω.
αὐτίκα γὰρ τρέχει Ὅρκος ἅμα σκολιῇσι δίκῃσιν.
τῆς δὲ Δίκης ῥόθος ἑλκομένης ᾗ κ' ἄνδρες ἄγωσι
δωροφάγοι, σκολιαῖς δὲ δίκαις κρίνωσι θέμιστας·
ἣ δ' ἕπεται κλαίουσα πόλιν τε καὶ ἤθεα λαῶν,
ἠέρα ἑσσαμένη, κακὸν ἀνθρώποισι φέρουσα,
οἵ τε μιν ἐξελάσωσι, καὶ οὐκ ἰθεῖαν ἔνειμαν.
οἳ δὲ δίκας ξείνοισι καὶ ἐνδήμοισι διδοῦσιν
ἰθείας, καὶ μή τι παρεκβαίνουσι δικαίου,
τοῖσι τέθηλε πόλις, λαοὶ δ' ἀνθεῦσιν ἐν αὐτῇ,
εἰρήνη δ' ἀνὰ γῆν κουροτρόφος· οὐδέ ποτ' αὐτοῖς
ἀργαλέον πόλεμον τεκμαίρεται εὐρύοπα Ζεύς,
οὐδέ ποτ' ἰθυδίκαισι μετ' ἀνδράσι λιμὸς ὀπηδεῖ,

οὐδ' ἄτη· θαλίης δὲ μεμηλότα ἔργα νέμονται.
τοῖσι φέρει μὲν γαῖα πολὺν βίον· οὔρεσι δὲ δρῦς
ἄκρη μέν τε φέρει βαλάνους, μέσση δὲ μελίσσας·
εἰροπόκοι δ' ὄϊες μαλλοῖς καταβεβρίθασι·
τίκτουσιν δὲ γυναῖκες ἐοικότα τέκνα γονεῦσιν·
θάλλουσιν δ' ἀγαθοῖσι διαμπερές· οὐδ' ἐπὶ νηῶν
νείσσονται, καρπὸν δὲ φέρει ζείδωρος ἄρουρα.
οἷς δ' ὕβρις τε μέμηλε κακὴ καὶ σχέτλια ἔργα,
τοῖσδε δίκην Κρονίδης τεκμαίρεται εὐρύοπα Ζεύς.
πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα,
ὅστις ἀλιτραίνει, καὶ ἀτάσθαλα μηχανάαται.
τοῖσιν δ' οὐρανόθεν μέγ' ἐπήλασε πῆμα Κρονίων,
λιμὸν ὁμοῦ καὶ λοιμόν· ἀποφθινύθουσι δὲ λαοί.
οὐδὲ γυναῖκες τίκτουσιν· μινύθουσι δὲ οἶκοι,
Ζηνὸς φραδμοσύνῃσιν Ὀλυμπίου. ἄλλοτε δ' αὖτε
ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν, ἢ ὅγε τεῖχος,
ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποτίνυται αὐτῶν.

Ὦ βασιλεῖς, ὑμεῖς δὲ καταφράζεσθε καὶ αὐτοὶ
τήνδε δίκην. ἐγγὺς γὰρ ἐν ἀνθρώποισιν ἐόντες
ἀθάνατοι λεύσσουσιν, ὅσοι σκολιῇσι δίκῃσιν
ἀλλήλους τρίβουσι, θεῶν ὄπιν οὐκ ἀλέγοντες.
τρὶς γὰρ μυρίοι εἰσὶν ἐπὶ χθονὶ πουλυβοτείρῃ
ἀθάνατοι Ζηνὸς, φύλακες θνητῶν ἀνθρώπων,
οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα,
ἠέρα ἑσσάμενοι, πάντη φοιτῶντες ἐπ' αἶαν.
ἡ δέ τε παρθένος ἐστὶ Δίκη, Διὸς ἐκγεγαυῖα,
κυδρή τ' αἰδοίη τε θεοῖς οἳ Ὄλυμπον ἔχουσιν·
καί ῥ' ὁπόταν τις μιν βλάπτῃ σκολιῶς ὀνοτάζων,
αὐτίκα πὰρ Διὶ πατρὶ καθεζομένη Κρονίωνι,

γηρύετ' ἀνθρώπων ἄδικον νόον, ὄφρ' ἀποτίσῃ
δῆμος ἀτασθαλίας βασιλέων, οἳ λυγρὰ νοεῦντες
ἄλλῃ παρκλίνουσι δίκας, σκολιῶς ἐνέποντες.
ταῦτα φυλασσόμενοι, βασιλῆες, ἰθύνετε μύθους,
δωροφάγοι, σκολιῶν δὲ δικῶν ἐπὶ πάγχυ λάθεσθε.
οἷ αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων·
ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη.
Ὦ Πέρση, σὺ δὲ ταῦτα μετὰ φρεσὶ βάλλεο σῇσι,
καί νυ δίκης ἐπάκουε, βίης δ' ἐπιλήθεο πάμπαν.
τόνδε γὰρ ἀνθρώποισι νόμον διέταξε Κρονίων,
ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖς πετεηνοῖς,
ἔσθειν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἐστὶν ἐπ' αὐτοῖς.
ἀνθρώποισι δ' ἔδωκε δίκην, ἣ πολλὸν ἀρίστη
γίγνεται. εἰ γάρ τις κ' ἐθέλῃ τὰ δίκαι' ἀγορεύειν
γιγνώσκων, τῷ μέν τ' ὄλβον διδοῖ εὐρύοπα Ζεύς·
ὃς δέ κε μαρτυρίῃσιν ἑκὼν ἐπίορκον ὀμόσσας
ψεύσεται, ἐν δὲ δίκην βλάψας, νήκεστον ἀάσθη,
τοῦδέ τ' ἀμαυροτέρη γενεὴ μετόπισθε λέλειπται·
ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων.
σοὶ δ' ἐγὼ ἐσθλὰ νοέων ἐρέω, μέγα νήπιε Πέρση.
τὴν μέν τοι κακότητα καὶ ἰλαδόν ἐστιν ἑλέσθαι
ῥηϊδίως· λείη μὲν ὁδὸς, μάλα δ' ἐγγύθι ναίει.
τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτὴν,
καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηαι,
ῥηϊδίη δὴ ἔπειτα πέλει, χαλεπή περ ἐοῦσα.
οὗτος μὲν πανάριστος, ὃς αὐτὸς πάντα νοήσει·
ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται.

ὅς δέ κε μήτ' αὐτὸς νοέῃ, μήτ' ἄλλου ἀκούων
ἐν θυμῷ βάλληται, ὅδ' αὖτ' ἀχρήϊος ἀνήρ.
ἀλλὰ σύ γ' ἡμετέρης μεμνημένος αἰὲν ἐφετμῆς
ἐργάζευ, Πέρση, Δίου γένος, ὄφρα σε λιμὸς
ἐχθαίρῃ, φιλέῃ δὲ ἐϋστέφανος Δημήτηρ
αἰδοίη, βιότου δὲ τεὴν πίμπλῃσι καλιήν.
λιμὸς γάρ τοι πάμπαν ἀεργῷ σύμφορος ἀνδρί.
τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅς κεν ἀεργὸς
ζώῃ, κηφήνεσσι κοθούροις εἴκελος ὀργὴν,
οἵ τε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ
ἔσθοντες· σοὶ δ' ἔργα φίλ' ἔστω μέτρια κοσμεῖν,
ὥς κε τοι ὡραίου βιότου πλήθωσι καλιαί.
ἐξ ἔργων δ' ἄνδρες πολύμηλοί τ' ἀφνειοί τε·
καί τ' ἐργαζόμενος, πολὺ φίλτερος ἀθανάτοισιν
ἔσσεαι ἠδὲ βροτοῖς. μάλα γὰρ στυγέουσιν ἀεργούς.
ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος.
εἰ δέ κεν ἐργάζῃ, τάχα σε ζηλώσει ἀεργὸς
πλουτεῦντα· πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ.
δαίμονι δ' οἷος ἔησθα. τὸ ἐργάζεσθαι ἄμεινον,
εἴ κεν ἀπ' ἀλλοτρίων κτεάνων ἀεσίφρονα θυμὸν
εἰς ἔργον τρέψας, μελετᾷς βίου, ὥς σε κελεύω.
αἰδώς τοι πρὸς ἀνολβίην, θάρσος δὲ πρὸς ὄλβον.
χρήματα δ' οὐχ ἁρπακτά· θεόσδοτα πολλὸν ἀμείνω
εἰ γάρ τις καὶ χερσὶ βίῃ μέγαν ὄλβον ἕληται,
ἢ ὅγ' ἀπὸ γλώσσης ληΐσσεται, (οἷά τε πολλὰ
γίγνεται, εὖτ' ἂν δὴ κέρδος νόον ἐξαπατήσῃ
ἀνθρώπων, αἰδὼ δέ τ' ἀναιδείη κατοπάζῃ)
ῥεῖά τε μιν μαυροῦσι θεοὶ, μινύθουσι δὲ οἶκοι
ἀνέρι τῷ· παῦρον δέ τ' ἐπὶ χρόνον ὄλβος ὀπηδεῖ.

Ἶσον δ' ὅς τ' ἐθέλῃσιν, ὅτε τ' ἔργον ἀμείνονα πολὺ
ἔρξει
ὅς τε καταγνήθοιο ἑαῦ ἔνι δόμπον βαίνῃ,
κρυπτάδιος σὺν τῇς ἀλόχου, πυρὸν ἀκμήνα φύλων·
ὅς τε τεῦ ἀφρονίδης φιλεταίνεται ὄφρα νέ πόνος
ἕς τε γοητῆα χέρονται πυκὰ ἐπὶ γήραος οὐδῷ
νειὸν ἐπ' ἀγκαλίδην καθαπτόμενος ἑπέεσσιν.
τῷ δή τοι Ζεὺς αὐτὸς ἀγαίεται, ἐς δὲ τελευτὴν
ἔργων ἐντ' ἀδίκων χαλεπὴν ἐπέθηκεν ἀμοιβήν.
ἀλλὰ σὺ τῶν μὲν πάμπαν ἐεργέ' ἀνοίφρονα θυμόν·
καδδύναμαι δ' ἔρδειν ἐὺ ἀθανάτοισι θεοῖσιν
ἁγνῶς καὶ καθαρῶς, ἐπὶ δ' ἀγλαὰ μηρία καίειν·
ἄλλοτε δὴ σπονδῇς θυέεσσί τε ἱλάσκεσθαι,
ἠμὲν ὅτ' εὐνάζῃ, καὶ ὅτιν φάος ἱερὸν ἔλθῃ,
ὥς κε τοι ἵλαον κραδίην καὶ θυμὸν ἔχωσιν·
ὄφρ' ἄλλων ὠνῇ κλῆρον, μὴ τὸν τεὸν ἄλλος.
Τὸν φιλέοντ' ἐπὶ δαῖτα καλίεν, τὸν δ' ἐχθρὸν
ἐᾶσαι
τὸν δὲ μάλιστα καλεῖν, ὅς τις σέθεν ἐγγύθι ναίει.
εἰ γάρ τοι καὶ χρῆμ' ἐγκύμονον ἄλλο γένηται,
γείτονες ἄζωστοι ἔπιον, ζώννυντο δὲ νηοί.
πῆμα κακὸς γείτων, ὅσσον τ' ἀγαθὸς μέγ' ὄνειαρ·
ἔμμορέ τοι τιμῆς, ὅς τ' ἔμμορε γείτονος ἐσθλοῦ·
οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη.
εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι
αὐτῷ τῷ μέτρῳ, καὶ λώιον, αἴ κε δύνηαι,
ὡς ἂν χρηίζων καὶ ἐς ὕστερον ἄρκιον εὕρῃς.
μὴ κακὰ κερδαίνειν· κακὰ κέρδεα ἶσ' ἄτῃσιν.
δὼς ἀγαθῇ, ἄρπαξ δὲ κακῇ, θανάτοιο δότειρα.

ὃς μὲν γάρ κεν ἄνδρ' ἐθέλῃσιν, ὅτε κεν χρῄζῃ δεδαῆναι,
χαίρει τῷ δώρῳ, καὶ τέρπεται ὃν κατὰ θυμόν.
ὃς δέ κεν αὐτὸς ἕληται, ἀναιδείῃφι πεποιθώς,
καί τε σμικρὸν ἐὸν, τό γ' ἐπώχετο φίλον ἦτορ.
εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ κατατεθείῃ,
καὶ θαμὰ τοῦτ' ἔρδῃσι, τάχα κεν μέγα καὶ τὸ γένοιτο.
ὃς δ' ἐπ' ἐόντι φέρει, ὃ δ' ἀλύξεται αἴθοπα λιμόν.
οὐδὲ τό γ' ἐν οἴκῳ κατακείμενον ἄνδρα κήδει.
οἶκοι βέλτερον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύρηφι.
ἐσθλὸν μὲν παρεόντος ἑλέσθαι· πῆμα δὲ θυμῷ
χρῄζειν ἀπεόντος· ἃ σε φράζεσθαι ἄνωγα.
ἀρχομένου δὲ πίθου, καὶ λήγοντος κορέσασθαι·
μεσσόθι φείδεσθαι· δειλὴ δ' ἐνὶ πυθμένι φειδώ.
μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω.
καί τε κασιγνήτῃ γελάσας ἐπὶ μάρτυρα θέσθαι.
πίστεις δ' ἄρα καὶ ἀπιστίαι οὖλεσαν ἄνδρας.

Μηδὲ γυνὴ σε νόον πυγοστόλος ἐξαπατάτω,
αἰμύλα κωτίλλουσα, τεὴν διφῶσα καλιήν.
ὃς δὲ γυναικὶ πέποιθε, πέποιθ' ὅγε φηλήτῃσι.

Μουνογενὴς δὲ παῖς σώζοι πατρώιον οἶκον·
γηραιὸς δὲ θάνοις ἕτερον παῖδ' ἐγκαταλείπων
φερβέμεν· ὣς γὰρ πλοῦτος ἀέξεται ἐν μεγάροισι.
ῥεῖα δέ κεν πλεόνεσσι πόροι Ζεὺς ἄσπετον ὄλβον.
πλείων μὲν πλεόνων μελέτη, μείζων δ' ἐπιθήκη.
σοὶ δ' εἰ πλούτου θυμὸς ἐέλδεται ἐν φρεσὶ σῇσι,
ὧδ' ἔρδειν· ἔργον δὲ τ' ἐπ' ἔργῳ ἐργάζεσθαι.

Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων,
ἄρχεσθ' ἀμητοῦ· ἀρότοιο δὲ, δυσομενάων·

αἳ δή τοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα
κεκρύφαται· αὖτις δὲ περιπλομένου ἐνιαυτοῦ
φαίνονται, τὰ πρῶτα χαρασσομένοιο σιδήρου.
οὗτός τοι πεδίων πέλεται νόμος, οἵ τε θαλάσσης
ἐγγύθι ναιετάουσ', οἵ τ' ἄγκεα βησσήεντα,
πόντου κυμαίνοντος ἀπύπροθι, πίονα χῶρον
ναίουσιν. γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν,
γυμνὸν δ' ἀμάειν, εἴ χ' ὥρια πάντ' ἐθέλῃσθα
ἔργα κομίζεσθαι Δημήτερος· ὥς τοι ἕκαστα
ὥρι' ἀέξηται, μή πως τὰ μεταξὺ χατίζων
πτώσσῃς ἀλλοτρίους οἴκους, καὶ μηδὲν ἀνύσσῃς·
ὡς καὶ νῦν ἐπ' ἐμ' ἦλθες· ἐγὼ δέ τοι οὐκ ἐπιδώσω,
οὐδ' ἐπιμετρήσω. ἐργάζευ, νήπιε Πέρση,
ἔργα, τά τ' ἀνθρώποισι θεοὶ διετεκμήραντο,
μή ποτε σὺν παίδεσσι γυναικί τε θυμὸν ἀχεύων,
ζητεύῃς βίοτον κατὰ γείτονας, οἳ δ' ἀμελῶσιν.
δὶς μὲν γὰρ καὶ τρὶς τάχα τεύξεαι· ἢν δ' ἔτι λυπῇς,
χρῆμα μὲν οὐ πρήξεις, σὺ δ' ἐτώσια πόλλ' ἀγορεύσεις.
ἄχρεῖος δ' ἔσται ἐπέων νομός. ἀλλά σ' ἄνωγα
φράζεσθαι χρειῶν τε λύσιν, λιμοῦ τ' ἀλεωρήν.
Οἶκον μὲν πρώτιστα, γυναῖκά τε, βοῦν τ' ἀροτῆρα,
κτητήν, οὐ γαμετήν, ἥ τις καὶ βουσὶν ἕποιτο.
χρήματα δ' εἰν οἴκῳ πάντ' ἄρμενα ποιήσασθαι,
μὴ σὺ μὲν αἰτῇς ἄλλον, ὁ δ' ἀρνῆται, σὺ δὲ τητᾷς,
ἡ δ' ὥρη παραμείβηται, μινύθῃ δέ τοι ἔργον.
μηδ' ἀναβάλλεσθαι ἔς τ' αὔριον, ἔς τ' ἔνηφιν.
οὐ γὰρ ἐτωσιοεργὸς ἀνὴρ πίμπλησι καλιὴν,

οὐδ' ἀναβαλλόμενος· μελέτη δέ τοι ἔργον ὀφέλλει.
αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει.
Ἦμος δὴ λήγει μένος ὀξέος ἠελίοιο
καύματος ἰδαλίμου, μετοπωρινὸν ὀμβρήσαντος
Ζηνὸς ἐρισθενέος, μετὰ δὲ τρέπεται βρότεος χρὼς
πολλὸν ἐλαφρότερος· (δὴ γὰρ τότε σείριος ἄστὴρ
βαιὸν ὑπὲρ κεφαλῆς κηριτρεφέων ἀνθρώπων
ἔρχεται ἠμάτιος, πλεῖον δέ τε νυκτὸς ἐπαυρεῖ.)
ἦμος ἀδηκτοτάτη πέλεται τμηθεῖσα σιδήρῳ
ὕλη, φύλλα δ' ἔραζε χέει, πτόρθοισί τε λήγει·
τῆμος ἄρ' ὑλοτομεῖν μεμνημένος ἄριον ἔργον.
ὅλμον μὲν τριπόδην τάμνειν, ὕπερον δὲ τρίπηχυν,
ἄξονά θ' ἑπταπόδην· μάλα γάρ νύ τοι ἅρμενον οὕτως·
εἰ δέ κεν ὀκταπόδην, ἀπὸ καὶ σφύραν τε τάμοιο.
τρισπίθαμον δ' ἄψιν τάμνειν δεκαδώρῳ ἀμάξῃ.
πέλλ' ἐπὶ καμπύλα κᾶλα· φέρειν δὲ γύην, ὅταν εὕρῃς,
εἰς οἶκον, κατ' ὄρος διζήμενος, ἢ κατ' ἄρουραν,
πρίνινον· ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν,
εὖτ' ἂν Ἀθηναίης δμωὸς ἐν ἐλύματι πήξας
γόμφοισιν πελάσας προσαρήρεται ἰστοβοῆι.
δοιὰ δὲ θέσθαι ἄροτρα, πονησάμενος κατὰ οἶκον,
αὐτόγυον καὶ πηκτόν· ἐπεὶ πολὺ λώϊον οὕτως.
εἰ χ' ἕτερόν γ' ἄξαις, ἕτερόν κ' ἐπὶ βουσὶ βάλοιο.
δάφνης δ' ἢ πτελέης ἀκιώτατοι ἰστοβοῆες.
δρυὸς ἔλυμα, γύην πρίνου, βόε δ' ἐνναετήρω
ἄρσενε κεκτῆσθαι, (τῶν γὰρ σθένος οὐκ ἀλαπαδνόν)

ἥβης μέτρον ἔχοντε, τὼ ἐργάζεσθαι ἀρίστω.
οὐκ ἂν τώ γ' ἐρίσαντες ἐν αὔλακι καμμέν ἄροτρον
ἄξειαν, τὸ δὲ ἔργον ἐτώσιον αὖθι λίποιεν.
τοῖς δ' ἅμα τεσσαρακοντατὴς αἰζηὸς ἕποιτο,
ἄρτον δειπνήσας τετράτρυφον, ὀκτάβλωμον,
ὅς κ' ἔργου μελετῶν ἰθεῖαν αὔλακ' ἐλαύνοι,
μηκέτι παπταίνων μεθ' ὁμήλικας, ἀλλ' ἐπὶ ἔργῳ
θυμὸν ἔχων· τοῦ δ' οὔ τι νεώτερος ἄλλος ἀμείνων
σπέρματα δάσσασθαι, καὶ ἐπισπορίην ἀλέασθαι.
κουρότερος γὰρ ἀνὴρ μεθ' ὁμήλικας ἑπτοίηται.
Φράζεσθαι δ' εὖτ' ἂν γεράνου φωνὴν ἐπακούσῃς
ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης,
ἥ τ' ἀρότοιό τε σῆμα φέρει, καὶ χείματος ὥρην
δεικνύει ὀμβρηροῦ· κραδίην δ' ἔδακ' ἀνδρὸς ἀβούτεω·
δὴ τότε χορτάζειν ἕλικας βόας ἔνδον ἐόντας.
ῥηΐδιον γὰρ ἔπος εἰπεῖν· Βόε δός καὶ ἅμαξαν.
ῥηΐδιον δ' ἀπανήνασθαι· Πάρα δ' ἔργα βόεσσιν.
φησὶ δ' ἀνὴρ φρένας ἀφνειὸς πήξασθαι ἅμαξαν,
νήπιος· οὐδὲ τό γ' οἶδ', ἑκατὸν δέ τε δούρατ' ἀμάξης,
τῶν πρόσθεν μελέτην ἐχέμεν οἰκῆϊα θέσθαι.
εὖτ' ἂν δὲ πρώτιστ' ἄροτος θνητοῖσι φανείη,
δὴ τότ' ἐφορμηθῆναι, ὁμῶς δμῶές τε καὶ αὐτός,
αὖην καὶ διερὴν ἀρόων, ἀρότοιο καθ' ὥρην,
πρωΐ' μάλα σπεύδων, ἵνα τοι πλήθωσιν ἄρουραι.
ἔαρι πολεῖν· θέρεος δὲ νεωμένη οὔ σ' ἀπατήσει.
νειὸν δὲ σπείρειν ἔτι κουφίζουσαν ἄρουραν.

νειὸς ἀλεξιάρη, παίδων εὐκηλήτειρα.
εὔχεσθαι δὲ Διὶ χθονίῳ, Δημήτερί θ' ἁγνῇ,
ἐκτελέα βριθεῖν Δημήτερος ἱερὸν ἀκτὴν,
ἀρχόμενος τὰ πρῶτ' ἀρότου, ὅταν ἄκρον ἐχέτλης
χειρὶ λαβὼν, ὄρπηκι βοῶν ἐπὶ νῶτον ἵκηαι,
ἔνδρυον ἑλκόντων μεσάβων. ὃ δὲ τυτθὸς ὄπισθεν
δμωὸς ἔχων μακέλην πόνον ὀρνίθεσσι τιθείη,
σπέρματα κακκρύπτων. εὐθημοσύνη γὰρ ἀρίστη
θνητοῖς ἀνθρώποις· κακοθημοσύνη δὲ κακίστη.
ὥδέ κεν ἀδροσύνῃ στάχυες νεύοιεν ἔραζε,
εἰ τέλος αὐτὸς ὄπισθεν Ὀλύμπιος ἐσθλὸν ὀπάζοι.
ἐκ δ' ἀγγέων ἐλάσειας ἀράχνια· καί σε ἔολπα
γηθήσειν, βιότου αἱρεύμενον ἔνδον ἐόντος.
εὐοχθέων δ' ἴξεαι πολιὸν ἔαρ, οὐδὲ πρὸς ἄλλους
αὐγάσεαι· σέο δ' ἄλλος ἀνὴρ κεχρημένος ἔσται.
εἰ δέ κεν ἠελίοιο τροπαῖς ἀρόῃς χθόνα δῖαν,
ἧμενος ἀμήσεις, ὀλίγον περὶ χειρὸς ἐέργων,
ἀντία δεσμεύων κεκονιμένος, οὐ μάλα χαίρων.
οἴσεις δ' ἐν φορμῷ· παῦροι δέ σε θηήσονται.
ἄλλοτε δ' ἀλλοῖος Ζηνὸς νόος αἰγιόχοιο·
ἀργαλέος δ' ἄνδρεσσι κατὰ θνητοῖσι νοῆσαι.
εἰ δέ κεν ὄψ' ἀρόσῃς, τόδε κέν τοι φάρμακον εἴη.
ἧμος κόκκυξ κοκκύζει δρυὸς ἐν πετάλοισι
τὸ πρῶτον, τέρπει τε βροτοὺς ἐπ' ἀπείρονα γαῖαν,
τῆμος Ζεὺς ὗοι τρίτῳ ἤματι, μηδ' ἀπολήγοι,
μήτ' ἄρ' ὑπερβάλλων βοὸς ὁπλὴν, μήτ' ἀπολείπων·
οὕτω κ' ὀψαρότης πρωτηρότῃ ἰσοφαρίζοι.
ἐν θυμῷ δ' εὖ πάντα φυλάσσεο· μηδέ σε λήθοι
μήτ' ἔαρ γιγνόμενον πολιὸν, μήθ' ὧριος ὄμβρος.

Πὰρ δ' ἴθι χαλκεῖον θῶκον, καὶ ἐπαλέα λέσχην,
ὥρῃ χειμερίῃ, ὁπότε κρύος ἀνέρας εἴργει
ἰσχάνει· ἔνθα κ' ἄοκνος ἀνὴρ μέγα οἶκον ὀφέλλοι·
μή σε κακοῦ χειμῶνος ἀμηχανίη καταμάρψῃ
σὺν πενίῃ, λεπτῇ δὲ πάχυν πόδα χειρὶ πιέζῃς.
πολλὰ δ' ἀεργὸς ἀνὴρ κενεὴν ἐπὶ ἐλπίδα μίμνων,
χρηίζων βιότοιο, κακὰ προσελέξατο θυμῷ.
ἐλπὶς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,
ἥμενον ἐν λέσχῃ, τῷ μὴ βίος ἄρκιος εἴη.
δείκνυε δὲ δμώεσσι, θέρευς ἔτι μέσσου ἐόντος·
Οὐκ αἰεὶ θέρος ἐσσεῖται, ποιεῖσθε καλιάς.
μῆνα δὲ Ληναιῶνα, κάκ' ἤματα, βούδορα πάντα·
τοῦτον ἀλεύασθαι, καὶ πηγάδας· αἵ τ' ἐπὶ γαῖαν,
πνεύσαντος Βορέαο, δυσηλεγέες τελέθουσιν,
ὅς τε διὰ Θρῄκης ἱπποτρόφου εὐρέϊ πόντῳ
ἐμπνεύσας ὤρινε· μέμυκε δὲ γαῖα καὶ ὕλη·
πολλὰς δὲ δρῦς ὑψικόμους, ἐλάτας τε παχείας,
οὔρεος ἐν βήσσῃς πιλνᾷ χθονὶ πουλυβοτείρῃ
ἐμπίπτων, καὶ πᾶσα βοᾷ τότε νήριτος ὕλη.
θῆρες δὲ φρίσσουσ', οὐρὰς δ' ὑπὸ μέζε' ἔθεντο,
τῶν καὶ λάχνη δέρμα κατάσκιον· ἀλλά νυ καὶ τῶν
ψυχρὸς ἐὼν διάησι, δασυστέρνων περ ἐόντων.
καί τε διὰ ῥινοῦ βοὸς ἔρχεται, οὐδέ μιν ἴσχει.
καί τε δι' αἶγα ἄησι τανύτριχα· πώεα δ' οὔ τι,
οὕνεκ' ἐπηετανὰι τρίχες αὐτῶν, οὐ διάησιν
ἰς ἀνέμου Βορέου. τροχαλὸν δὲ γέροντα τίθησι.
καὶ διὰ παρθενικῆς ἁπαλόχροος οὐ διάησιν,
ἥ τε δόμων ἔντοσθε φίλῃ παρὰ μητέρι μίμνει,

οὔπω ἔργ' εἰδυῖα πολυχρύσου Ἀφροδίτης·
εὖτε λοισσαμένη τέρενα χρόα, καὶ λίπ' ἔλαίῳ
χρισαμένη, νυχίη καταλέξεται ἔνδοθεν οἴκου
ἤματι χειμερίῳ, ὅτ' ἀνόστεος ὃν πόδα τέρδει
ἔν τ' ἀπύρῳ οἴκῳ καὶ ἐν ἤθεσί λευγαλέοισιν.
οὐ γάρ οἱ ἠέλιος δείκνυ νομὸν ἑρμηθῆναι·
ἀλλ' ἐπὶ κυανέων ἀνδρῶν δῆμόν τε πόλιν τε
στρωφᾶται, βράδιον δὲ Πανελλήνεσσι φαείνει.
καὶ τότε δὴ κεραοὶ καὶ νήκεροι ὑληκοῖται
λυγρὸν μαλκιόωντες ἀνὰ δρία βησσήεντα
φεύγουσιν· καὶ πᾶσιν ἐνὶ φρεσὶ τοῦτο μέμηλεν,
οἳ σκέπα μαιόμενοι πυκινοὺς κευθμῶνας ἔχουσι,
καὶ γλάφυ πετρῆεν· τότε δὴ τρίποδι βροτῷ ἶσοι,
οὖλ τ' ἐπὶ νῶτα ἔαγε, κάρη δ' εἰς οὖδας δρᾶται,
τῷ ἴκελοι φοιτῶσιν ἀλευόμενοι νίφα λευκήν.
καὶ τότε ἔσσασθαι ἔρυμα χροὸς, ὥς σε κελεύω,
χλαῖναν μὲν μαλακὴν, καὶ τερμιόεντα χιτῶνα.
στήμονι δ' ἐν παύρῳ πολλὴν κρόκα μηρύσασθαι.
τὴν περιέσσασθαι, ἵνα τοι τρίχες ἀτρεμέωσι,
μηδ' ὀρθαὶ φρίσσωσιν, ἀειρόμεναι κατὰ σῶμα.
ἀμφὶ δὲ ποσσὶ πέδιλα βοὸς ἶφι κταμένοιο
ἄρμενα δήσασθαι, πίλοις ἔντοσθε πυκάσσας.
πρωτογόνων δ' ἐρίφων, ὁπόταν κρύος ὦριον ἔλθῃ,
δέρματα συρράπτειν νεύρῳ βοός, ὄφρ' ἐπὶ ὤμῳ
ὕετοῦ ἀμφιβάλῃ ἀλεήν. κεφαλῇφι δ' ὕπερθεν
πῖλον ἔχειν ἀσκητὸν, ἵν' οὔατα μὴ καταδεύῃ.
ψυχρὴ γάρ τ' ἠὼς πέλεται, Βορέαο πεσόντος.
τὸν φθάμενος, ἔργον τελέσας, οἰκόνδε νέεσθαι,
μή ποτέ σ' οὐρανόθεν σκοτόεν νέφος ἀμφικαλύψῃ,

χρῶτά τε μυδαλέον θείη, κατά θ' εἵματα δεύσῃ·
ἀλλ' ὑπαλεύασθαι· μεὶς γὰρ χαλεπώτατος οὗτος
χειμέριος, χαλεπὸς προβάτοις, χαλεπὸς δ' ἀνθρώποις.
τῆμος θαλπέμεν βουσὶν, ἐπ' ἀνέρι δὲ πλέον εἴη
ἁρμαλιῆς· μακραὶ γὰρ ἐπιῤῥόθοι εὐφρόναι εἰσί.
Εὖτ' ἂν δ' ἑξήκοντα μετὰ τροπὰς ἠελίοιο
χειμέρι' ἐκτελέσῃ Ζεὺς ὄμβρια, δὴ ῥα τότ' ἀστὴρ
Ἀρκτοῦρος προλιπὼν ἱερὸν ῥόον Ὠκεανοῖο
πρῶτον παμφαίνων ἐπιτέλλεται ἀκρονέφαιος.
τόνδε μετ' ὀρθρογόη Πανδιονὶς ὦρτο χελιδὼν
ἐς φάος ἀνθρώποις, ἔαρος νέον ἱσταμένοιο.
τὴν φθάμενος, οἶνας περιταμνέμεν· ὡς γὰρ ἄμεινον.
ἀλλ' ὁπότ' ἂν φερέοικος ἀπὸ χθονὸς ἂν φυτὰ βαίνῃ
Πληϊάδας φεύγων, τότε δὴ σκάφος οὐκ ἔτι οἰνέων·
ἀλλ' ἅρπας τε χαρασσέμεναι, καὶ δμῶας ἐγείρειν.
φεύγειν δὲ σκιεροὺς θώκους, καὶ ἐπ' ἠῶ κοῖτον,
ὥρῃ ἐν ἀμητοῦ, ὅτε τ' ἠέλιος χρόα κάρφει·
τημοῦτος σπεύδειν, καὶ οἶκαδε καρπὸν ἀγείρειν,
ὄρθρου ἀνιστάμενος, ἵνα τοι βίος ἄρκιος εἴη.
ἠὼς γάρ τ' ἔργοιο τρίτην ἀπομείρεται αἶσαν·
ἠὼς τοι προφέρει μὲν ὁδοῦ, προφέρει δὲ καὶ ἔργου·
ἠὼς, ἥ τε φανεῖσα πολέας ἐπέβησε κελεύθου
ἀνθρώπους, πολλοῖσι δ' ἐπὶ ζυγὰ βουσὶ τίθησιν.
Ἧμος δὲ σκόλυμός τ' ἀνθεῖ, καὶ ἠχέτα τέττιξ
δενδρέῳ ἐφεζόμενος λιγυρὴν καταχεύετ' ἀοιδὴν
πυκνὸν ὑπὸ πτερύγων, θέρεος καματώδεος ὥρῃ,
τῆμος πιότατοί τ' αἶγες, καὶ οἶνος ἄριστος,
μαχλότατοι δὲ γυναῖκες, ἀφαυρότατοι δέ τε ἄνδρες

εἰσὶν, ἐπεὶ κεφαλὴν καὶ γούνατα Σείριος ἄζει,
αὐαλέος δέ τε χρὼς ὑπὸ καύματος. ἀλλὰ τότ᾽ ἤδη
εἴη πετραίη τε σκιὴ, καὶ Βίβλινος οἶνος,
μᾶζά τ᾽ ἀμολγαίη, γάλα τ᾽ αἰγῶν σβεννυμενάων,
καὶ βοὸς ὑλοφάγοιο κρέας μήπω τετοκυίης,
πρωτογόνων τ᾽ ἐρίφων· ἐπὶ δ᾽ αἴθοπα πινέμεν οἶνον,
ἐν σκιῇ ἑζόμενον, κεκορημένον ἦτορ ἐδωδῆς,
ἀντίον ἀκραέος Ζεφύρου τρέψαντα πρόσωπον,
κρήνης τ᾽ ἀενάου καὶ ἀποῤῥύτου, ἣ τ᾽ ἀθόλωτος.
τρὶς δ᾽ ὕδατος προχέειν, τὸ δὲ τέτρατον ἐμμεν οἴνου.
δμωσὶ δ᾽ ἐποτρύνειν Δημήτερος ἱερὸν ἀκτὴν
δινέμεν, εὖτ᾽ ἂν πρῶτα φανῇ σθένος Ὠρίωνος,
χώρῳ ἐν εὐαεῖ, καὶ ἐϋτροχάλῳ ἐν ἀλωῇ.
μέτρῳ δ᾽ εὖ κομίσασθαι ἐν ἀγγεσιν. αὐτὰρ ἔπειτα
πάντα βίον κατάθηαι ἐπάρμενον ἔνδοθεν οἴκου,
θῆτά τ᾽ ἄοικον ποιεῖσθαι, καὶ ἄτεκνον ἔριθον
δίζεσθαι κέλομαι· χαλεπὴ δ᾽ ὑπόπορτις ἔριθος.
καὶ κύνα καρχαρόδοντα κομεῖν· μὴ φείδεο σίτου·
μή ποτέ σ᾽ ἡμερόκοιτος ἀνὴρ ἀπὸ χρήματ᾽ ἕληται.
χόρτον δ᾽ ἐσκομίσαι καὶ συρφετὸν, ὄφρα τοι εἴη
βουσὶ καὶ ἡμιόνοισιν ἐπητανόν. αὐτὰρ ἔπειτα
δμῶας ἀναψύξαι φίλα γούνατα, καὶ βύε λῦσαι.

Εὖτ᾽ ἂν δ᾽ Ὠρίων καὶ Σείριος ἐς μέσον ἔλθῃ
οὐρανὸν, Ἀρκτοῦρον δ᾽ ἐσίδῃ ῥοδοδάκτυλος Ἠώς,
ὦ Πέρση, τότε πάντας ἀπόδρεπε οἴκαδε βότρυς.
δεῖξαι δ᾽ ἠελίῳ δέκα τ᾽ ἤματα καὶ δέκα νύκτας·

πέντε δὲ συσκιάσαι, ἕκτῳ δ' εἰς ἄγγε' ἀφύσσαι
δῶρα Διωνύσου πολυγήθεος. αὐτὰρ ἐπὴν δὴ
Πληϊάδες θ', Ὑάδες τε, τό τε σθένος Ὠρίωνος
δύνωσι, τότ' ἔπειτ' ἀρότου μεμνημένος εἶναι
ὡραίου· πλειὼν δὲ κατὰ χθονὸς ἄρμενος εἴη.
Εἰ δέ σε ναυτιλίης δυσπεμφέλου ἵμερος αἱρεῖ,
εὖτ' ἂν Πληϊάδες, σθένος ὄβριμον Ὠρίωνος
φεύγουσαι, πίπτωσιν ἐς ἠεροειδέα πόντον,
δὴ τότε παντοίων ἀνέμων θύουσιν ἀῆται·
καὶ τότε μηκέτι νῆας ἔχειν ἐνὶ οἴνοπι πόντῳ,
γῆν δ' ἐργάζεσθαι μεμνημένος, ὥς σε κελεύω.
νῆα δ' ἐπ' ἠπείρου ἐρύσαι, πυκάσαι τε λίθοισι
πάντοθεν, ὄφρ' ἴσχωσ' ἀνέμων μένος ὑγρὸν ἀέντων,
χείμαρον ἐξερύσας, ἵνα μὴ πύθῃ Διὸς ὄμβρος.
ὅπλα δ' ἐπάρμενα πάντα τεῷ ἐνικάτθεο οἴκῳ,
εὐκόσμως στολίσας νηὸς πτερὰ ποντοπόροιο·
πηδάλιον δ' εὐεργὲς ὑπὲρ καπνοῦ κρεμάσασθαι.
αὐτὸς δ' ὡραῖος μίμνειν πλόον, εἰσόκεν ἔλθῃ·
καὶ τότε νῆα θοὴν ἅλαδ' ἑλκέμεν, ἐν δέ τε φόρτον
ἄρμενον ἐντύνασθαι, ἵν' οἴκαδε κέρδος ἄρηαι·
ὥσπερ ἐμός τε πατὴρ καὶ σός, μέγα νήπιε Πέρση,
πλωΐζεσκεν νηυσὶ, βίου κεχρημένος ἐσθλοῦ·
ὅς ποτε καὶ τῇδ' ἦλθε, πολὺν διὰ πόντον ἀνύσσας,
Κύμην Αἰολίδα προλιπών, ἐν νηῒ μελαίνῃ·
νάσσατο δ' οὔτ' ἄγχ' Ἑλικῶνος ὀιζυρῇ ἐνὶ κώμῃ,
Ἄσκρῃ, χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέ ποτ' ἐσθλῇ.
Τύνη δ', ὦ Πέρση, ἔργων μεμνημένος εἶναι
ὡραίων πάντων, περὶ ναυτιλίης δὲ μάλιστα.

νῆ' ὀλίγην αἰνεῖν, μεγάλη δ' ἐνὶ φορτία θέσθαι·
μείζων μὲν φόρτος, μεῖζον δ' ἐπὶ κέρδεϊ κέρδος
ἔσσεται, εἴ κ' ἄνεμοί γε κακὰς ἀπέχωσιν ἀήτας.
εὖτ' ἂν ἐπ' ἐμπορίην τρέψῃς ἀεσίφρονα θυμόν,
βούλῃαι δὲ χρέα τε φυγεῖν καὶ ἀτερπέα λιμόν,
δείξω δή τοι μέτρα πολυφλοίσβοιο θαλάσσης.
Ἤματα πεντήκοντα μετὰ τροπὰς ἠελίοιο,
ἐς τέλος ἐλθόντος θέρεος, καματώδεος ὥρης,
ὡραῖος πέλεται θνητοῖς πλόος· οὔτε κε νῆα
καυάξαις, οὔτ' ἄνδρας ἀποφθίσειε θάλασσα,
εἰ μὴ δὴ πρόφρων γε Ποσειδάων ἐνοσίχθων,
ἢ Ζεὺς ἀθανάτων βασιλεὺς ἐθέλῃσιν ὀλέσσαι.
ἐν τοῖς γὰρ τέλος ἐστὶν ὁμῶς ἀγαθῶν τε κακῶν τε.
τῆμος δ' εὐκρινέες τ' αὖραι, καὶ πόντος ἀπήμων,
εὔκηλος· τότε νῆα θοὴν, ἀνέμοισι πιθήσας,
ἑλκέμεν ἐς πόντον, φόρτον δ' εὖ πάντα τίθεσθαι.
σπεύδειν δ' ὅττι τάχιστα πάλιν οἶκόνδε νέεσθαι·
μηδὲ μένειν οἶνόν τε νέον, καὶ ὀπωρινὸν ὄμβρον,
καὶ χειμῶν' ἐπιόντα, Νότοιό τε δεινὰς ἀήτας,
ὅς τ' ὦρινε θάλασσαν, ὁμαρτήσας Διὸς ὄμβρῳ
πολλῷ ὀπωρινῷ· χαλεπὸν δέ τε πόντον ἔθηκεν.
ἄλλος δ' εἰαρινὸς πέλεται πλόος ἀνθρώποισιν.
ἦμος δὴ τὸ πρῶτον, ὅσον τ' ἐπιβᾶσα κορώνη
ἴχνος ἐποίησεν, τόσσον πέταλ' ἀνδρὶ φανείη
ἐν κράδῃ ἀκροτάτῃ, τότε δ' ἄμβατός ἐστι θάλασσα.
εἰαρινὸς δ' οὗτος πέλεται πλόος. οὔ μιν ἔγωγε
αἴνημ'· οὐ γὰρ ἐμῷ θυμῷ κεχαρισμένος ἐστὶν,
ἁρπακτός. χαλεπῶς κε φύγοις κακόν. ἀλλά νυ καὶ

τὸν

ἄνθρωποι ῥέζουσιν ἀϊδρείῃσι νόοιο.
χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσι.
δεινὸν δ' ἐστὶ θανεῖν μετὰ κύμασι. ἀλλά σ' ἄνωγα
φράζεσθαι τάδε πάντα μετὰ φρεσὶν, ὅσσ' ἀγορεύω.
μηδ' ἐνὶ νηυσὶν ἅπαντα βίον κοίλῃσι τίθεσθαι·
ἀλλὰ πλέων λείπειν, τὰ δὲ μείονα φορτίζεσθαι.
δεινὸν γὰρ πόντου μετὰ κύμασι πήματι κύρσαι.
δεινόν τ', εἴ κ' ἐφ' ἅμαξαν ὑπέρβιον ἄχθος ἀείρας,
ἄξονα καυάξαις, τὰ δὲ φορτία ἀμαυρωθείη.
μέτρα φυλάσσεσθαι. καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος.
Ὥραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι,
μήτε τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων,
μήτ' ἐπιθεὶς μάλα πολλά· γάμος δέ τοι ὧριος οὗτος.
ἣ δὲ γυνὴ τέτορ' ἧβᾷ, πέμπτῳ δὲ γαμοῖτο.
παρθενικὴν δὲ γαμεῖν, ὥς κ' ἤθεα κεδνὰ διδάξῃς·
τὴν δὲ μάλιστα γαμεῖν, ἥ τις σέθεν ἐγγύθι ναίει,
πάντα μάλ' ἀμφὶς ἰδὼν, μὴ γείτοσι χάρματα γήμῃς.
οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ λῇΐζετ' ἄμεινον
τῆς ἀγαθῆς· τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο,
δειπνολόχου, ἥ τ' ἄνδρα καὶ ἴφθιμόν περ ἐόντα
εὖσι ἄτερ δαλοῦ, καὶ ἐν ὠμῷ γήραϊ θῆκεν.
Εὖ δ' ὄπιν ἀθανάτων μακάρων πεφυλαγμένος εἶναι.
μηδὲ κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον·
εἰ δέ κε ποιήσῃς, μή μιν πρότερος κακὸν ἔρξῃς.
μηδὲ ψεύδεσθαι γλώσσης χάριν. εἰ δέ κεν ἄρχῃ,
ἢ τι ἔπος εἰπὼν ἀποθύμιον, ἠὲ καὶ ἔρξας,
δὶς τόσα τίνυσθαι μεμνημένος· εἰ δέ κεν αὖθις

ἡγῆτ᾽ ἐς φιλότητα, δίκην δ᾽ ἐθέλῃσι παρασχεῖν,
δέξασθαι. δειλός τοι ἀνὴρ φίλον ἄλλοτε ἄλλον
ποιεῖται. σὲ δὲ μή τι νόον κατελεγχέτω εἶδος.
μηδὲ πολύξεινον, μηδ᾽ ἄξεινον καλέεσθαι,
μηδὲ κακῶν ἕταρον, μηδ᾽ ἐσθλῶν νεικεστῆρα.
μηδέ ποτ᾽ οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ
τέτλαθ᾽ ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων.
γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος
φειδωλῆς, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης.
εἰ δὲ κακὸν εἴποις, τάχα κ᾽ αὐτὸς μεῖζον ἀκούσαις.
μηδὲ πολυξείνου δαιτὸς δυσπέμφελος εἶναι
ἐκ κοινοῦ· πλείστη δὲ χάρις, δαπάνη τ᾽ ὀλιγίστη.

Μηδέ ποτ᾽ ἐξ ἠοῦς Διὶ λείβειν αἴθοπα οἶνον
χερσὶν ἀνίπτοισι, μηδ᾽ ἄλλοις ἀθανάτοισιν·
οὐ γάρ τοίγε κλύουσιν, ἀποπτύουσι δέ τ᾽ ἀράς.
μηδ᾽ ἀντ᾽ ἠελίοιο τετραμμένος ὀρθὸς ὀμιχεῖν·
αὐτὰρ ἐπήν κε δύῃ, μεμνημένος, ἠς τ᾽ ἀνιόντος,
μήτ᾽ ἐν ὁδῷ, μήτ᾽ ἐκτὸς ὁδοῦ προβάδην οὐρήσῃς,
μηδ᾽ ἀπογυμνωθείς· μακάρων τοι νύκτες ἔασιν·
ἑζόμενος δ᾽ ὅ γε θεῖος ἀνὴρ πεπνυμένα εἰδὼς,
ἢ ὅ γε πρὸς τοῖχον πελάσας εὐερκέος αὐλῆς.
μηδ᾽ αἰδοῖα γονῇ πεπαλαγμένος ἔνδοθεν οἴκου
ἑστίῃ ἐμπελαδὸν παραφαινέμεν, ἀλλ᾽ ἀλέασθαι.
μηδ᾽ ἀπὸ δυσφήμοιο τάφου ἀπονοστήσαντα
σπερμαίνειν γενεὴν, ἀλλ᾽ ἀθανάτων ἀπὸ δαιτός.

Μηδέ ποτ᾽ ἀενάων ποταμῶν καλλίῤῥοον ὕδωρ
ποσσὶ περᾶν, πρὶν γ᾽ εὐξῃ ἰδὼν ἐς καλὰ ῥέεθρα,
χεῖρας νιψάμενος πολυηράτῳ ὕδατι λευκῷ.
ὃς ποταμὸν διαβῇ, κακότητι δὲ χεῖρας ἄνιπτος,

τῷδε θεοὶ νεμεσῶσι, καὶ ἄλγεα δῶκαν ὀπίσσω.
Μηδ' ἀπὸ πεντόζοιο, θεῶν ἐν δαιτὶ θαλείῃ,
αὖον ἀπὸ χλωροῦ τάμνειν αἴθωνι σιδήρῳ.
μηδέ ποτ' οἰνοχόην τιθέμεν κρητῆρος ὕπερθε
πινόντων· ὁλοὴ γὰρ ἐπ' αὐτῷ μοῖρα τέτυκται.
μηδὲ δόμον ποιῶν ἀνεπίξεστον καταλείπειν,
μή τοι ἐφεζομένη κρώζῃ λακέρυζα κορώνη.
μηδ' ἀπὸ χυτροπόδων ἀνεπιῤῥέκτων ἀνελόντα
ἔσθειν, μηδὲ λόεσθαι· ἐπεὶ καὶ τοῖς ἔνι ποινή.
μηδ' ἐπ' ἀκινήτοισι καθίζειν (οὐ γὰρ ἄμεινον)
παῖδα δυωδεκαταῖον, ὅ τ' ἀνέρ' ἀγήνορα ποιεῖ·
μηδὲ δυωδεκάμηνον· ἴσον καὶ τοῦτο τέτυκται.
μηδὲ γυναικείῳ λουτρῷ χρόα φαιδρύνεσθαι
ἀνέρα· λευγαλέη γὰρ ἐπὶ χρόνον ἔστ' ἐπὶ καὶ τῷ
ποινή. μηδ' ἱεροῖσιν ἐπ' αἰθομένοισι κυρήσας,
μωμεύειν ἄϊδηλα· θεός νυ τι καὶ τὰ νεμεσσᾷ.
μηδέ ποτ' ἐν προχοῇ ποταμῶν ἅλαδε προρεόντων,
μηδ' ἐπὶ κρηνάων οὐρεῖν, μάλα δ' ἐξαλέασθαι·
μηδ' ἐναποψύχειν· τὸ γὰρ οὔ τοι λώϊόν ἐστιν.
Ὧδ' ἔρδειν, δεινὴν δὲ βροτῶν ὑπαλεύεο φήμην.
φήμη γάρ τε κακὴ πέλεται, κούφη μὲν ἀεῖραι
ῥεῖα μάλ', ἀργαλέη δὲ φέρειν, χαλεπὴ δ' ἀποθέσθαι.
φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται, ἥν τινα πολλοὶ
λαοὶ φημίζουσι· θεός νύ τις ἐστὶ καὶ αὐτή.
Ἥματα δ' ἐκ Διόθεν πεφυλαγμένος εὖ κατα μοῖραν
πεφραδέμεν δμώεσσι. τριηκάδα μηνὸς ἀρίστην

ἔργα τ' ἐποπτεύειν, ἠδ' ἁρμαλιὴν δατέασθαι,
εἶτ' ἂν ἀληθείην λαοὶ κρίνοντες ἄγωσιν.
αἵδε γὰρ ἡμέραι εἰσὶ Διὸς παρὰ μητιόεντος.
πρῶτον ἔνη, τετράς τε, καὶ ἑβδόμη, ἱερὸν ἦμαρ.
τῇ γὰρ Ἀπόλλωνα χρυσάορα γείνατο Λητώ.
ὀγδοάτη τ' ἐνάτη τε, δύω γε μὲν ἤματα μηνὸς
ἔξοχ' ἀεξομένοιο βροτήσια ἔργα πένεσθαι.
ἑνδεκάτη τε, δυωδεκάτη τ', ἄμφω γε μὲν ἐσθλαί·
ἡ μὲν ὄϊς πείκειν, ἡ δ' εὔφρονα καρπὸν ἀμᾶσθαι.
ἡ δὲ δυωδεκάτη τῆς ἑνδεκάτης μέγ' ἀμείνων.
τῇ γάρ τοι νεῖ νήματ' ἀερσιπότητος ἀράχνης
ἤματος ἐκ πλείου, ὅτε τ' ἴδρις σῶρον ἀμᾶται·
τῇδ' ἱστὸν στήσαιτο γυνὴ, προβάλοιτό τε ἔργον.
μηνὸς δ' ἱσταμένου τρισκαιδεκάτην ἀλέασθαι
σπέρματος ἄρξασθαι· φυτὰ δ' ἐνθρέψασθαι ἀρίστη.
ἕκτη δ' ἡ μέσση μάλ' ἀσύμφορός ἐστι φυτοῖσιν·
ἀνδρογόνος τ' ἀγαθὴ· κούρῃ δ' οὐ σύμφορός ἐστιν,
οὔτε γενέσθαι πρῶτ', οὔτ' ἂρ γάμου ἀντιβολῆσαι
οὐδὲ μὲν ἡ πρώτη ἕκτη κούρῃσι γενέσθαι
ἄρμενος, ἀλλ' ἐρίφους τ' ἀμνειν καὶ πώεα μήλων·
σηκόν τ' ἀμφιβαλεῖν ποιμνήϊον ἦπιον ἦμαρ.
ἑσθλὴ δ' ἀνδρογόνος, φιλέει δέ τε κέρτομα βάζειν,
ψεύδεά θ', αἱμυλίους τε λόγους, κρυφίους τ' ὀαρισμούς.
μηνὸς δ' ὀγδοάτῃ κάπρον καὶ βοῦν ἐρίμυκον
ταμνέμεν, οὐρῆας δὲ δυωδεκάτῃ ταλαεργούς.
εἰκάδι δ' ἐν μεγάλῃ, πλέῳ ἤματι, ἵστορα φῶτα
γείνασθαι· μάλα γάρ τε νόον πεπυκασμένος ἐστίν.

ἐσθλὴ δ' ἀνδρογόνος δεκάτη, κούρῃσι δὲ τετρὰς
μέσση. τῇ δέ τε μῆλα, καὶ εἰλίποδας ἕλικας βοῦς,
καὶ κύνα καρχαρόδοντα, καὶ οὐρῆας ταλαεργοὺς
πρηῦνειν, ἐπὶ χεῖρα τιθείς. πεφύλαξο δὲ θυμῷ
τετράδ' ἀλεύασθαι φθίνοντός θ' ἱσταμένου τε
ἄλγεα θυμοβορεῖν. μάλα τοι τετελεσμένον ἦμαρ.
ἐν δὲ τετάρτῃ μηνὸς ἄγεσθαι ἐς οἶκον ἄκοιτιν,
οἰωνοὺς κρίνας, οἳ ἐπ' ἔργματι τούτῳ ἄριστοι.
πέμπτας δ' ἐξαλέασθαι· ἐπεὶ χαλεπαί τε καὶ αἰναί.
ἐν πέμπτῃ γάρ φασιν Ἐρινύας ἀμφιπολεύειν,
Ὅρκον τινυμένας, τὸν Ἔρις τέκε πῆμ' ἐπιόρκοις.
μέσσῃ δ' ἑβδομάτῃ Δημήτερος ἱερὸν ἀκτὴν
εὖ μάλ' ὀπιπτεύοντα εὐτροχάλῳ ἐν ἀλωῇ
βάλλειν· ὑλοτόμον τε ταμεῖν θαλαμήϊα δοῦρα,
νηΐά τε ξύλα πολλά, τά τ' ἄρμενα νηυσὶ πέλονται.
τετράδι δ' ἄρχεσθαι νῆας πήγνυσθαι ἀραιάς.
εἰνὰς δ' ἡ μέσση ἐπιδείελα λώϊον ἦμαρ·
πρωτίστη δ' εἰνὰς παναπήμων ἀνθρώποισιν.
ἐσθλὴ μὲν γάρ θ' ἥδε φυτευέμεν, ἠδὲ γενέσθαι,
ἀνέρι τ' ἠδὲ γυναικί· καὶ οὔ ποτε πάγκακον ἦμαρ
παῦροι δ' αὖτε ἴσασι τρισεινάδα μηνὸς ἀρίστην
ἄρξασθαί τε πίθου, καὶ ἐπὶ ζυγὸν αὐχένα θεῖναι
βουσὶ καὶ ἡμιόνοισι καὶ ἵπποις ὠκυπόδεσσι,
νῆα πολυκληῖδα θοὴν εἰς οἶνοπα πόντον
εἰρύμεναι· παῦροι δέ τ' ἀληθέα κικλήσκουσι.
τετράδι δ' οἶγε πίθον· περὶ πάντων ἱερὸν ἦμαρ
μέσση· παῦροι δ' αὖτε μετ' εἰκάδα μηνὸς ἀρίστην
ἠοῦς γιγνομένης· ἐπιδείελα δ' ἐστὶ χερείων.
αἵδε μὲν ἡμέραι εἰσὶν ἐπιχθονίοις μέγ' ὄνειαρ·

αἱ δ' ἄλλαι μετάδουποι, ἀκήριοι, οὔ τι φέρουσαι.
ἄλλος δ' ἀλλοίην αἰνεῖ, παῦροι δέ τ' ἴσασιν.
ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ.
τάων εὐδαίμων τε καὶ ὄλβιος, ὅς τάδε πάντα
εἰδὼς ἐργάζηται, ἀναίτιος ἀθανάτοισιν,
ὄρνιθας κρίνων, καὶ ὑπερβασίας ἀλεείνων.

ΤΕΛΟΣ ΤΩΝ ΗΣΙΟΔΟΥ ΕΡΓΩΝ ΚΑΙ ΗΜΕΡΩΝ.

ΚΩΜΙΚΩΝ

ΓΙΝΩΝ ΠΑΛΑΙΩΝ ΓΝΩΜΑΙ.

ΕΚ ΤΩΝ ΑΛΕΞΙΔΟΣ.

I.

Εἰ τοῦ μεθύσκεσθαι πρότερον τὸ κραιπαλᾶν
παρεγένεθ' ἡμῖν, οὐδ' ἂν εἷς οἴνόν ποτε
προσίετο πλεῖον τοῦ μετρίου· νυνὶ δὲ τὴν
τιμωρίαν οὐ προσδοκῶντες τῆς μέθης
ἥξειν, προχείρως τοὺς ἀκράτους πινομεν.

II.

Ὁμοιότατον ἄνθρωπος οἴνῳ τὴν φύσιν
τρόπον τιν' ἐστί. καὶ γὰρ οἶνον τὸν νέον
πολλή γ' ἀνάγκη καὶ τὸν ἄνδρ' ἀποζέσαι
πρώτιστον, ἀφυβρίσαι τ'· ἀπανθήσαντα δὲ,
σκληρὸν γενέσθαι· παρακμάσαντα δ' ὧν λέγω
τούτων ἁπάντων, ἀπαρυθέντα τὴν ἄνω
ταύτην ἄνοιαν ἐπιπολάζουσαν, ποτὲ
πότιμον γενέσθαι, καὶ καταστῆναι πάλιν,
ἡδὺν θ' ἅπασι τοὐπίλοιπον διατελεῖν.

III.

Οὐκ ἔστιν οὔτε τεῖχος, οὔτε χρήματα,
οὔτ' ἄλλο δυσφύλακτον οὐδὲν ὡς γυνή.

ΕΚ ΤΩΝ ΑΜΦΙΔΟΣ.

I.

Ἐν οἷς ἂν ἀτυχήσῃ τις ἄνθρωπος τόποις,
ἥκιστα τούτοις πλησιάζων ἥδεται.

II.

Ὅστις γὰρ ὀμνύοντι μηδὲν πείθεται,
αὐτὸς ἐπιορκεῖν ῥᾳδίως ἐπίσταται.

ΕΚ ΤΩΝ ΑΝΑΞΑΝΔΡΙΔΟΥ.

I.

Ὅστις λόγους γὰρ, παρακαταθήκην ὡς, λαβὼν,
ἐξεῖπεν, ἄδικός ἐστιν, ἢ ἀκρατὴς ἄγαν.
ὁ μὲν διὰ κέρδος, ἄδικος· ὁ δὲ τούτου δίκα,
ἀκρατής. ἴσως δέ γ' εἰσὶν ἀμφότεροι κακοί.

II.

Οὔ τοι τὸ γῆρας ἐστίν, ὡς οἴει, πάτερ,
τῶν φορτίων μέγιστον. ἀλλ' ὃς ἂν φέρῃ

ἀγνώμονως αὖθ', οὗτός ἐστιν αἴτιος·
ὁ δ' εὐκόλως, ἐνίοτε κοιμίζειν ποιεῖ,
μεταλαμβάνων ἐπιδέξι' αὐτοῦ τὸν τρόπον,
λύπην ἀφαιρῶν, ἡδονήν τε προστιθείς.
λύπην δ' ἐποίησ', ὅστις εἶχε δυσκόλως.

ΕΚ ΤΩΝ ΑΝΤΙΦΑΝΟΥΣ.

I.

Δέσποιν', ὅταν τις ὀμνύοντος καταφρονῇ,
ᾧ μὴ ξύνοιδε πρότερον ἐπιωρκηκότι,
οὗτος καταφρονεῖν τῶν θεῶν ἐμοὶ δοκεῖ,
καὶ πρότερον ὀμόσας αὐτὸς ἐπιωρκηκέναι.

II.

Ἐπὶ χρήμασιν ἰδὼν ἔμπορος φρονεῖ μέγα,
ὧν ἐστὶ πάντων ἐνίοτ' ἄνεμος κύριος.

III.

Κρύψαι, Φειδία,
ἅπαντα τἄλλα τις δύναιτ' ἄν, πλὴν δυοῖν,
οἶνόν τε πίνων, εἰς ἔρωτά τ' ἐμπεσών·
ἀμφότερα μηνύει γὰρ ἀπὸ τῶν βλεμμάτων,
καὶ τῶν λόγων αὖ· ὥστε τοὺς ἀρνουμένους
μάλιστα ταῦτα καταφανεῖς πολλοὺς ποιεῖν.

IV.

Οὐκ ἔστιν οὐδὲν βαρύτερον τῶν φορτίων
ὄντως, γυναικὸς προῖκα πολλὴν φερομένης.

V.

Πενθεῖν δὲ μετρίως τοὺς προσήκοντας φίλους.
οὐ γὰρ τεθνᾶσιν, ἀλλὰ τὴν αὐτὴν ὁδὸν,
ἣν πᾶσιν ἐλθεῖν ἔστ' ἀναγκαίως ἔχον,
προεληλύθασιν· εἶτα χ' ἡμεῖς ὕστερον
ἐς ταυτὸ καταγώγιον αὐτοῖς ἥξομεν,
κοινῇ τὸν ἄλλον συνδιατρίψοντες χρόνον.

VI.

Πλοῦτος δὲ βάσανός ἐστιν ἀνθρώπου τρόπων.
ὅταν εὐπορῶν γὰρ αἰσχρὰ πράττῃ πράγματα,
τί τοῦτον ἀπορήσαντ' ἂν οὐκ οἴει ποιεῖν;

VII.

Πρὸς γὰρ τὸ γῆρας, ὥσπερ ἐργαστήριον,
ἅπαντα τἀνθρώπεια προσφοιτᾷ κακά.

VIII.

Σφόδρ' ἐστὶν ἡμῶν ὁ βίος οἴνῳ προσφερής·
ὅταν ᾖ τὸ λοιπὸν μικρόν, ὄξος γίγνεται.

IX.

Καλῶς πένεσθαι μᾶλλον, ἢ πλουτεῖν κακῶς.
τὸ μὲν γὰρ ἔλεον, τὸ δ' ἐπιτίμησιν φέρει.

X.

Τί δ' ; οὐχὶ θανάτου μισθοφόρος, ὦ φιλτάτη,
ὃς ἕνεκα τοῦ ζῆν ἔρχετ' ἀποθανούμενος ;

XI.

Τὸ γῆρας ὥσπερ βωμός ἐστι τῶν κακῶν.
πάντ' ἔστ' ἰδεῖν ἐς τοῦτο καταπεφευγότα.

XII.

Τοῦ γάρ ποτ' ἄλλου, πρὸς θεῶν, τις οὕνεκα
εὔξαιτο πλουτεῖν, εὐπορεῖν τε χρημάτων,
ἢ τοῦ δύνασθαι παραβοηθεῖν τοῖς φίλοις,
σπείρειν τε καρπὸν Χάριτος, ἡδίστης θεῶν ;
τοῦ γὰρ πιεῖν τε καὶ φαγεῖν τὰς ἡδονὰς
ἔχομεν ὁμοίας· οὐχὶ τοῖς λαμπροῖσι δὲ
δείπνοις τὸ πεινῆν παύεται.

Vid. Anthol. VI. 38. IX. 84. 245. 256. 258. 409. X. 100. XI. 168. 322. 348.

ΕΚ ΤΩΝ ΑΠΟΛΛΟΔΩΡΟΥ.

I.

Καὶ κλείθ' ἡ θύρα μοχλοῖς· ἀλλ' οὐδὲ εἷς
τέκτων ὀχυρὰν οὕτως ἐποίησεν θύραν,
δι' ἧς γαλῆ καὶ μοιχὸς οὐκ ἐσέρχεται.

II.

Ὅτε μειράκιον ἦν, τοὺς ἀώρους ἠλέουν·
νυνὶ δ' ὅταν γέροντος ἐκφορὰν ἴδω,
κλαίω. πρὸς ἐμὲ γάρ ἐστι τοῦτ' ἐκεῖν' ὁδοῦ.

III.

Οὐδέποτ' ἀθυμεῖν τὸν κακῶς πράττοντα δεῖ,
ἄνδρες, τὰ βελτίω δὲ προσδοκᾶν ἀεί.

IV.

Τὰ μεγάλα δῶρα τῆς τύχης ἔχει φόβον.
καὶ τὸ πάνυ λαμπρὸν οὐκ ἀκίνδυνον κυρεῖ·
οὐδ' ἀσφαλὲς πᾶν ὕψος ἐν θνητῷ γένει,
ὃ περιέτρεψεν ἢ χρόνος τις ἢ φθόνος,
ἐπὰν ἐπ' ἄκρον τις τοῦ καλῶς πράττειν δράμῃ.
ἡ δὲ μεσότης ἐν πᾶσιν ἀσφαλεστέρα,
τῷ μήτε λίαν ἐν ταπεινῷ τῆς τύχης
μέρει φέρεσθαι, μήτ' ἐν ὑψηλῷ πάλιν.
κἂν γὰρ πέσῃ τις ἐξ ἐλάττονος μέτρου,
εὐπερικάλυπτον ἔσχε τὴν δυσπραξίαν·
ὄγκου δὲ μεγάλου πτῶμα γίγνεται μέγα.
πρὸς γὰρ τὸ λαμπρὸν ὁ φθόνος βιάζεται.
σφάλλει δ' ἐκείνους, οὓς ἂν ὑψώσῃ τύχη.

ΕΚ ΤΩΝ ΔΙΦΙΛΟΥ.

I.

Εὖ γ' ὁ κατάχρυσος εἶπε τοῦτ' Εὐριπίδης·
„Νικᾷ δὲ χρεία μ', ἢ κακῶς τ' ὀλουμένη
γαστήρ." ταλαιπωρότερον οὐδὲν ἔστι γὰρ
τῆς γαστρός, εἰς ἣν πρῶτον ἂν πάντ' ἐμβάλοις,
ἀλλ' οὐχ' ἕτερον ἄγγειον. ἐν πήρᾳ φέροις

ἄρτους ἂν, ἀλλ' οὐ ζωμὸν, ἢ διαφθερεῖς·
εἰς σπυρίδα μάζας ἐμβαλεῖς, ἀλλ' οὐ φακῆν·
οἰνάριον εἰς λάγηνον, ἀλλ' οὐ κάραβον.
εἰς τὴν θεοῖς ἐχθρὰν δὲ ταύτην εἰσφορεῖς
τὰ πάνθ', ἑαυτοῖς οὐδὲν ὁμολογούμενα.
κοὐ προστίθημι τἄλλα, διότι πανταχοῦ
διὰ τὴν τάλαιναν πάντα ταῦτα γίγνεται.

II.

Ὅστις γὰρ αὐτὸς αὑτὸν οὐκ αἰσχύνεται
συνειδόθ' αὑτῷ φαῦλα διαπεπραγμένῳ,
πῶς τόν γε μηδὲν εἰδότ' αἰσχυνθήσεται;

III.

Πένητος ἀνδρὸς οὐδὲν εὐτυχέστερον.
τὴν γὰρ ἐπὶ τὸ χεῖρον μεταβολὴν οὐ προσδοκᾷ.

Vid. Anthol. xi. 439.

ΕΚ ΤΩΝ ΜΕΝΑΝΔΡΟΥ.

I.

Ἀεὶ κράτιστόν ἐστι τἀληθῆ λέγειν
ἐν παντὶ καιρῷ. τοῦτ' ἐγὼ παρεγγυῶ
εἰς ἀσφάλειαν τῷ βίῳ πλεῖστον μέρος.

II.

Ἂν μὲν πλέωμεν ἡμερῶν που τεττάρων,
σκεπτόμεθα τἀναγκαῖ' ἑκάστης ἡμέρας·

δέον δὲ φείσασθαί τι τοῦ γήρως χάριν,
οὐ φειδόμεσθ', ἐφόδια περιποιούμενοι.

III.

Ἅπαντα τὰ ζῷ' ἐστὶ μακαριώτερα
καὶ νοῦν ἔχοντα μᾶλλον ἀνθρώπου πολύ.
τὸν ὄνον ὁρᾷν ἔξεστι πρῶτα τουτονί.
οὗτος κακοδαίμων ἐστὶν ὁμολογουμένως.
τούτῳ κακὸν δι' αὑτὸν οὐδὲν γίγνεται·
ἃ δ' ἡ φύσις δέδωκε, ταῦτ' ἔχει μόνα.
ἡμεῖς δέ, χωρὶς τῶν ἀναγκαίων κακῶν,
αὐτοὶ παρ' αὑτῶν ἕτερα προσπορίζομεν.
λυπούμεθ', ἂν πτάρῃ τις· ἂν εἴπῃ κακῶς,
ὀργιζόμεθ'· ἂν ἴδῃ τις ἐνύπνιον, σφόδρα
φοβούμεθ'· ἂν γλαὺξ ἀνακράγῃ, δεδοίκαμεν.
ἀγωνίαι, δόξαι, φιλοτιμίαι, νόμοι,
ἅπαντα ταῦτ' ἐπίθετα τῇ φύσει κακά.

IV.

Γέρων γέροντι γλῶτταν ἡδίστην ἔχει,
παῖς παιδὶ, καὶ γυναικὶ πρόσφορον γυνή,
νοσῶν τ' ἀνὴρ νοσοῦντι· καὶ δυσπραξίᾳ
ληφθεὶς, ἐπῳδός ἐστι τῷ πειρωμένῳ.

V.

Σ. πρὸς τὸ πρᾶγμ' ἔχω
κακῶς. Α. ἐπαριστερῶς γὰρ αὐτὸ λαμβάνεις.
τὰ δυσχερῆ γὰρ καὶ τὰ λυπήσαντά σε

δρᾷς ἐν αὐτῷ· τὰ δ' ἀγαθ' οὐκ ἐπιβλέπεις.
εὕροις δ' ἂν οὐδὲν τῶν ἁπάντων, Σιμύλε,
ἀγαθόν, ὅπου τι μὴ πρόσεστι καὶ κακόν.
γυνὴ πολυτελής, ἔστ' ὀχληρόν, οὐδ' ἐᾷ
ζῆν τὸν λαβόνθ' ὡς βούλετ'· ἀλλ' ἔνεστί τι
ἀγαθὸν ἀπ' αὐτῆς, παῖδες· ἐλθόντ' εἰς νόσον,
τὸν ἔχοντα ταύτην ἐθεράπευσεν ἐπιμελῶς·
ἀτυχοῦντι συμπαρέμεινεν· ἀποθανόντα τε
ἔθαψε· περιέστειλεν οἰκείως. ὅρα
εἰς ταῦθ', ὅταν λυπῇ τι τῶν καθ' ἡμέραν.
οὕτω γὰρ οἴσεις πᾶν τὸ πρᾶγμ'· ἂν δ' ἐκλέγῃς
ἀεὶ τὸ λυποῦν, μηδὲν ἀντιπαρατιθεὶς
τῶν προσδοκωμένων, ὀδυνήσῃ διὰ τέλους.

VI.

Εἰ γὰρ ἐγένου σὺ, Τρόφιμε, τῶν πάντων μόνος,
ὅτ' ἔτικτεν ἡ μήτηρ σ', ἐφ' ᾧ γε διατελεῖν
πράττων ἃ βούλει, καὶ διευτυχῶν ἀεὶ,
καὶ τοῦτο τῶν θεῶν τις ὡμολόγησέ σοι,
ὀρθῶς ἀγανακτεῖς· ἔστι γάρ σ' ἐψευσμένος,
ἄτοπόν τε πεποίηκ'. εἰ δ' ἐπὶ τοῖς αὐτοῖς νόμοις,
ἐφ' οἷσπερ ἡμεῖς, ἔσπασας τὸν ἀέρα
τὸν κοινόν, ἵνα σοί τι τραγικώτερον λαλῶ,
οἰστέον ἄμεινον ταῦτα καὶ λογιστέον.
τὸ δὲ κεφάλαιον τῶν λόγων· ἄνθρωπος εἶ,
οὗ μεταβολὴν θᾶττον πρὸς ὕψος, καὶ πάλιν
ταπεινότητα, ζῶόν οὐδὲν λαμβάνει·
καὶ μάλα δικαίως. ἀσθενέστερον γὰρ ὄν

φύσει, μεγίστοις οἰκονομεῖται πράγμασιν·
ὅταν πέσῃ δὲ, πλεῖστα συντρίβει καλά.
σὺ δ' οὔθ' ὑπερβάλλοντα, Τρύφιμ', ἀπώλεσας
ἀγαθά· τὰ νυνὶ δ' ἐστὶ μετριά σοι κακά·
ὡς τἀνάμεσόν που καὶ τὸ λοιπὸν εὖ φέρε.

VII.

Εἰρήνη γεωργὸν κἂν πέτραις
τρέφει καλῶς· πόλεμος δὲ κἂν πεδίῳ κακῶς.

VIII.

Θυγάτηρ ἐπίγαμος, κἂν ὅλως μηδὲν λαλῇ,
διά τοῦ σιωπᾶν πλεῖστα περὶ αὐτῆς λέγει.

IX.

Πλεονεξία μέγιστον ἀνθρώποις κακόν.
οἱ γὰρ θέλοντες προσλαβεῖν τὰ τῶν πέλας,
ἀποτυγχάνουσι πολλάκις νικώμενοι,
τὰ δ' ἴδια προστιθέασι τοῖς ἀλλοτρίοις.

X.

Οὐπώποτ' ἐζήλωσα πολυτελῆ νεκρόν.
εἰς τὸν ἴσον οἶκον τῷ σφόδρ' ἔρχετ' εὐτελεῖ.

XI.

Μὴ τοῦτο βλέψῃς, εἰ νεώτερος λέγω,
ἀλλ' εἰ φρονοῦντων τοὺς λόγους ἀνδρῶν ἐρῶ.

XII.

Ὁ σκληροτατος πρὸς υἱὸν ἐν τῷ νουθετεῖν,
τοῖς μὲν λύγοις πικρός ἐστι, τοῖς δ' ἔργοις πατήρ.

XIII.

Ὅστις δὲ διαβολαῖσι πείθεται ταχὺ,
ἢ τοι πονηρὸς αὐτός ἐστι τοὺς τρόπους,
ἢ παντάπασι παιδαρίου γνώμην ἔχει.

XIV.

Οὔτ' ἐκ χερὸς μεθέντα καρτερὸν λίθον
ῥᾷον κατασχεῖν, οὔτ' ἀπὸ γλώττης λόγον.

XV.

Οὗτος κράτιστός ἐστ' ἀνὴρ, ὦ Γοργία,
ὅστις ἀδικεῖσθαι πλεῖστ' ἐπίσταται βροτῶν.

XVI.

Τὸ κουφότατόν σε τῶν κακῶν πάντων δάκνει,
πενία. τί γάρ τοῦτ' ἔστιν, ἧς γένοιτ' ἂν εἷς
φίλος βοηθήσας, ἰατρὺς ῥᾳδίως;

XVII.

Τρία γάρ ἐστι, δέσποτα,
δι' ὧν ἅπαντα γίγνετ', ἢ κατὰ τοὺς νόμους,
ἢ ταῖς ἀνάγκαις, ἢ τὸ τρίτον ἔθει τινί.

XVIII.

Τῷ μὲν τὸ σῶμα διατεθειμένῳ κακῶς

χρεία 'στὶν ἰατροῦ· τῷ δὲ τὴν ψυχὴν, φίλου.
λύπην γὰρ εὔνους οἶδε θεραπεύειν λόγος.

XIX.

Ὑπερήφανόν που γίγνεθ' ἡ λίαν τρυφή·
ὅ τε πλοῦτος ἐξώκειλε τὸν κεκτημένον
εἰς ἕτερον ἦθος, οὐκ ἐν ᾧ τὸ πρόσθεν ἦν.

XX.

Ὤιμην ἐγὼ τοὺς πλουσίους, ὦ Φανία,
οἷς μὴ τὸ δανείζεσθαι πρόσεστιν, οὐ στένειν
τὰς νύκτας, οὐδὲ στρεφομένους ἄνω κάτω
ΟΙΜΟΙ λέγειν, ἡδὺν δὲ καὶ πρᾷόν τινα
ὕπνον καθεύδειν, ἀλλὰ τῶν πτωχῶν τινά.
νυνὶ δὲ καὶ τοὺς μακαρίους καλουμένους
ὑμᾶς, ὁρῶ ποιοῦντας ἡμῖν ἐμφερῆ.

XXI.

Ἀλλ' ὅταν ἐρῶντα νοῦν ἔχειν τις ἀξιοῖ,
παρὰ τίνι τἀνόητον οὗτος ὄψεται;

XXII.

Ὁ προκαταγιγνώσκων δὲ, πρὶν ἀκοῦσαι σαφῶς,
αὐτὸς πονηρός ἐστι, πιστεύσας κακῶς.

XXIII.

Πολλοὺς δι' ἀνάγκην γὰρ πονηροὺς οἶδ' ἐγὼ,
ὅταν ἀτυχήσωσιν, γεγονότας, οὐ φύσει
ὄντας τοιούτους.

Vid. Thol. VII. 72. XI. 438

ΕΚ ΤΩΝ ΦΙΛΗΜΟΝΟΣ.

I.

Ἀγαθῆς γυναικός ἐστιν, ὦ Νικοστράτη,
μὴ κρείττον' εἶναι τἀνδρός, ἀλλ' ὑπήκοον.
γυνὴ δὲ νικῶσ' ἄνδρα, κακόν ἐστιν μέγα.

II.

Ἀνὴρ δίκαιός ἐστιν, οὐχ ὃ μὴ ἀδικῶν,
ἀλλ' ὅστις, ἀδικεῖν δυνάμενος, μὴ βούλεται.
οὐδ' ὃς τὰ μικρὰ λαμβάνειν ἀπέσχετο,
ἀλλ' ὃς τὰ μεγάλα καρτερεῖ μὴ λαμβάνων,
ἔχειν δυνάμενος καὶ κρατεῖν ἀζημίως.
οὐδ' ὃς γε ταῦτα πάντα διατηρεῖ μόνον,
ἀλλ' ὅστις ἄδολον γνησίαν τ' ἔχων φύσιν,
εἶναι δίκαιος, κοὐ δοκεῖν εἶναι θέλει.

III.

Εἴ τις δὲ θυσίαν προσφέρων, ὦ Ἡάμφιλε,
ταύρων γε πλῆθος, ἢ ἐρίφων, ἢ νὴ Δία
ἑτέρων τοιούτων, ἢ κατασκευάσματα,
χρυσᾶς ποιήσας χλαμύδας, ἤτοι πορφυρᾶς,
ἢ δι' ἐλέφαντος ἢ σμαράγδου ζώδια,
εὔνουν νομίζει τὸν θεὸν καθιστάναι,
πεπλάνητ' ἐκεῖνος, καὶ φρένας κούφας ἔχει.
δεῖ γὰρ τὸν ἄνδρα χρήσιμον πεφυκέναι,
μὴ παρθένους φθείροντα, μὴ μοιχώμενον,
κλέπτοντα, καὶ σφάττοντα χρημάτων χάριν.

μηδὲ βελόνης,
ὦ φίλτατ', ἐπιθύμησον ἀλλοτρίας ποτε.
ὁ θεὸς γὰρ ἔργοις τοῖς δικαίοις ἥδεται·
πονοῦντα δ' ἐᾷ τὸν ἴδιον ὑφῶσαι βίον,
τὴν γῆν ἀροῦντα νύκτα καὶ τὴν ἡμέραν.
θεῷ δὲ θῦε διὰ τέλους δίκαιος ὤν,
μὴ λαμπρὸς ὢν ταῖς χλαμύσιν ὡς τῇ καρδίᾳ.
βροντῆς δ' ἀκούσας μηδαμῶς πόρρω φύγῃς,
μηδὲν συνειδὼς αὐτὸς αὑτῷ, δέσποτα.
ὁ γὰρ θεὸς βλέπει σε πλησίον παρών.

IV.

Ἥδιον οὐδέν, οὐδὲ μουσικώτερον
ἔστ', ἢ δύνασθαι λοιδορούμενον φέρειν.
ὁ λοιδορῶν γὰρ, ἐὰν ὁ λοιδορούμενος
μὴ προσποιῆται, λοιδορεῖται λοιδορῶν.

V.

Κἂν δοῦλος ᾖ τις, οὐδὲν ἧττον, δέσποτα,
ἄνθρωπος οὗτός ἐστιν, ἂν ἄνθρωπος ᾖ.

VI.

Οὐκ ἔστιν ἡμῖν οὐδεμία Τύχη θεός,
οὐκ ἔστιν· ἀλλὰ ταὐτόματον, ὃ γίγνεται
ὡς ἔτυχ' ἑκάστῳ, προσαγορεύεται Τύχη.

VII.

Οὔτε γὰρ ἰατρὸς οὐδὲ εἷς, ἂν εἰ σκοπῇς,

τοὺς αὐτὸς αὑτοῦ βούλεθ' ὑγιαίνειν φίλους,
οὔτε στρατιώτης πόλιν ὁρᾷν ἄνευ κακοῦ.

VIII.

Πάντ' ἐστὶν ἐξευρεῖν, ἐὰν μὴ τὸν πόνον
φεύγῃ τις, ὃς πρόσεστι τοῖς ζητουμένοις.

IX.

Πολὺ μεῖζόν ἐστι τοῦ κακῶς ἔχειν κακόν,
τὸ καθ' ἕνα πᾶσι τοῖς ἐπισκοπουμένοις
δεῖν τὸν κακῶς ἔχοντα, πῶς ἔχει λέγειν.

X.

Α. Σύρα, Σύρα. Σ. Τί ἐστι; Α. Πῶς ἡμῖν ἔχεις;
Σ. Μηδέποτ' ἐρώτα τοῦτ', ἐπὰν γέροντ' ἴδῃς,
ἢ γραῦν τιν'· ἴσθι δ' εὐθὺς, ὅτι κακῶς ἔχει.

XI.

Ἄνθρωπον ὄντα ῥᾴδιον παραινέσαι
ἐστὶν, ποιῆσαι δ' αὐτὸν οὐχὶ ῥᾴδιον.
τεκμήριον δὲ τοὺς ἰατροὺς οἶδ' ἐγὼ
ὑπὲρ ἐγκρατείας τοῖς νοσοῦσιν εὖ σφόδρα
πάντας λαλοῦντας· εἶτ' ἐπὰν πταίσωσί τι,
αὐτοὺς ποιοῦντας πάνθ', ὅσ' οὐκ εἴων τότε.
ἕτερον τό τ' ἀλγεῖν καὶ τὸ θεωρεῖν ἔστ' ἴσως.

XII.

Α. Τίς ἐστιν οὗτος; Β. Ἰατρός. Α. Ὡς κακῶς ἔχει
ἅπας ἰατρὸς, ἂν κακῶς μηδεὶς ἔχῃ.

XIII.

Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἕν,
μακρὸν νόμιζε, κἂν δύ' εἴπῃ συλλαβάς.
τὸν δ' εὖ λέγοντα μὴ νόμιζ' εἶναι μακρὸν,
μηδ' ἂν σφόδρ' εἴπῃ πολλὰ, καὶ πολὺν χρόνον.
τεκμήριον δὲ τοῦδε τὸν Ὅμηρον λάβε.
οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράφει,
ἀλλ' οὐδὲ εἷς Ὅμηρον εἴρηκεν μακρον.

XIV.

Εἰ τὰ δάκρυ' ἡμῖν τῶν κακῶν ἦν φάρμακον,
ἀεί θ' ὁ κλαύσας τοῦ πονεῖν ἐπαύετο,
ἠλλαττόμεσθ' ἂν δάκρυα, δόντες χρυσίον.
νῦν δ' οὐ προσέχει τὰ πράγματ', οὐδ' ἀποβλέπει
ἐς ταῦτα, δέσποτ', ἀλλὰ τὴν αὐτὴν ὁδὸν,
ἐάν τε κλαίῃς, ἄν τε μὴ, πορεύσεται.
τί οὖν πλέον σοί γ'; οὐδέν. ἡ λύπη δ' ἀεὶ,
ὥσπερ τὰ δένδρα καρπὸν, ἔχει τὰ δάκρυα.

Vid. An[illegible]. IX. 450.

ΕΚ ΤΩΝ ΔΙΟΔΩΡΟΥ.

Ἐγὼ μὲν οὖν τὸν νόμον ἐμαυτῷ τουτονὶ
τίθεμαι δοκιμάζων, ὥσπερ εἴρηται, ποιεῖν.
κρεῖττον γάρ ἐστιν εὖ τεθραμμένην λαβεῖν
γυναῖκ' ἄπροικον, ἢ κακὴν μετὰ χρημάτων,
τὴν ἐσομένην καὶ ταῦτα μέτοχον τοῦ βίου.

ΕΚ ΤΩΝ ΕΥΒΟΥΛΟΥ.

Τρεῖς γὰρ μόνους κρατῆρας ἐγχεραννύω
τοῖς εὖ φρονοῦσι· τὸν μὲν ὑγιείας ἕνα,
ὃν πρῶτον ἐκπίνουσι· τὸν δὲ δεύτερον
ἔρωτος ἡδονῆς τε· τὸν τρίτον δ' ὕπνου,
ὃν εἰσπιόντες οἱ σοφοὶ κεκλημένοι
οἴκαδε βαδίζουσ'· ὁ δὲ τέταρτος οὐκ ἔτι
ἡμέτερος ἔστ', ἀλλ' ὕβρεος· ὁ δὲ πέμπτος, βοῆς·
ἕκτος δὲ κώμων· ἕβδομος δ' ὑπωπίων·
ὄγδοος ἀνακλητόρων· ὁ δ' ἔννατος χολῆς·
δέκατος δὲ μανίας, ὥστε καὶ βάλλειν ποιεῖν.
πολὺς γὰρ εἰς ἓν μικρὸν ἀγγεῖον χυθεὶς
ὑποσκελίζει ῥᾷστα τοὺς πεπωκότας.

ΕΚ ΤΩΝ ΙΠΠΑΡΧΟΥ.

Πολύ γ' ἐστὶ πάντως κτῆμα τιμιώτατον
ἅπασιν ἀνθρώποισιν εἰς τὸ ζῆν τέχνη,
τὰ μὲν γὰρ ἄλλα καὶ πόλεμος, καὶ μεταβολὴ
τύχης ἀναλοῖ· ἡ τέχνη δὲ σώζεται.

ΕΚ ΤΩΝ ΚΡΑΤΗΤΟΣ.

I.

Ὁ γὰρ χρόνος μ' ἔκαμψε, τέκτων μὲν σοφὸς,
ἅπαντα δ' ἐργαζόμενος ἀσθενέστερα.

II.

Ὠνείδισάς μοι γῆρας, ὡς κακὸν μέγα,
οὗ μὴ τυχόντι θάνατος ἔσθ' ἡ ζημία,
οὗ πάντες ἐπιθυμοῦμεν· ἂν δ' ἔλθῃ ποτὲ,
ἀνιώμεθ'. οὕτως ἐσμὲν ἀχάριστοι φύσει.

III.

Γαστρὸς δὲ πειρῶ πᾶσαν ἡνίαν κρατεῖν.
μόνη γὰρ ὧν πέπονθεν οὐκ ἔχει χάριν,
ἀεὶ δὲ τοῦ δέοντος ἐνδεῖται πλέον.
ὅστις δὲ γαστρὸς μὴ κρατεῖν ἐπίσταται,
οὗτος τὰ πλείω τῶν κακῶν ἔχει κακά.

IV.

Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν·
ὃ καὶ γέροντι καὶ νεῳ τιμὴν φέρει
ἡ γλῶσσα σιγὴν καιριαν κεκτημένη.

Vid. Anton. C. VII. 326. IX. 497. X. 184. XI. 216 A. 47.

ΕΚ ΤΩΝ ΝΙΚΟΣΤΡΑΤΟΥ.

Εἰ τὸ συνεχῶς καὶ πολλὰ καὶ ταχέως λαλεῖν
ἦν τοῦ φρονεῖν παράσημον, αἱ χελιδόνες
ἐλέγοντ' ἂν ἡμῶν σωφρονέστεραι πολύ.

ΕΚ ΤΩΝ ΦΕΡΕΚΡΑΤΟΥΣ.

Ὦ γῆρας, ὡς ἐπαχθὲς ἀνθρώποισιν εἶ,

καὶ παντάχῃ λυπηρόν, οὐ καθ' ἓν μόνον·
ἐν ᾧ γὰρ οὐδὲν δυνάμεθ', οὐδ' ἰσχύομεν,
σὺ τηνικαῦθ' ἡμᾶς προδιδάσκεις εὖ φρονεῖν.

ΕΚ ΤΩΝ ΦΙΛΙΠΠΟΥ.

Οὐ χαλεπόν ἐστι τῷ κακῶς διακειμένῳ
εἰπεῖν τιν' ἐσθλὸν τα, Μὴ κακῶς ἔχε,
πύκτῃ τ' ἐπιτιμᾷν, οὐδὲν ἔργον μαχομένῳ·
αὐτὸν δὲ μάχεσθαι οὐκ ἔτ' ἐστὶ ῥᾴδιον.
ἕτερόν τι τὸ λέγειν ἐστὶ καὶ τὸ πεπονθέναι.

ΕΚ ΤΩΝ ΦΙΛΙΠΠΙΔΟΥ.

I.

Αἰσχρὰν γυναῖκ' ἔγημας, ἀλλὰ πλουσίαν.
κάθευδ' ἀηδῶς, ἡδέως μασώμενος.

II.

Ὅταν ἀτυχεῖν σοι συμπέσῃ τι, δέσποτα,
Εὐριπίδου μνήσθητι, καὶ ῥᾴων ἔσῃ·
„Οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ.“
εἶναι δ' ὑπόλαβε καὶ σὲ τῶν πολλῶν ἕνα.

ΕΚ ΤΩΝ ΣΩΤΑΔΟΥ.

Εἰ καὶ βασιλεὺς πέφυκας, ὡς θνητὸς ἄκουσον.
ἂν μακρὰ πτύῃς, φλεγματίῳ κρατῇ περισσῷ.
ἂν εὐιματῇς, ταῦτα πρὸ σοῦ προβάτιον εἶχεν.
ἂν χρυσοφορῇς, τοῦτο τύχης ἐστὶν ἔπαρμα.
ἂν πλούσιος ᾖς, τοῦτο χρόνου ἄδηλος ἰσχύς.
ἂν δ' ἀλαζονῇς, τοῦτ' ἀνοίας ἐστὶ φρύαγμα.
ἂν δὲ σωφρονῇς, τοῦτο θεῶν δῶρον ὑπάρχει.
ἡ σωφροσύνη πάρεστιν, ἂν μετρῇς σεαυτόν.

ΕΚ ΤΩΝ ΕΡΙΦΟΥ.

Λόγος γάρ ἐστ' ἀρχαῖος οὐ κακῶς ἔχων·
οἶνον λέγουσι τοὺς γέροντας, ὦ πάτερ,
πείθειν χορεύειν οὐ θέλοντας.

ΕΚ ΤΩΝ ΠΟΣΕΙΔΙΠΠΟΥ.

I.

Ἔργον γε λύπην ἐκφυγεῖν· ἡ δ' ἡμέρα
ἀεί τι καινὸν εἰς τὸ φροντίζειν φέρει.

II.

Ὁ μὴ πεπλευκὼς οὐδὲν ἑώρακεν κακόν.
τῶν μονομαχούντων ἐσμὲν ἀθλιώτεροι.

III.

Τὴν χλανίδα πάντες, ὡς ἔοικεν, οὐκ ἐμὲ,
προσηγόρευον· οὐδὲ εἷς νῦν μοι λαλεῖ.

IV.

Ὧν τοῖς θεοῖς ἄνθρωπος εὔχεται τυχεῖν,
τῆς εὐθανασίας κρεῖττον οὐδὲν εὔχεται.

ΕΚ ΤΩΝ ΤΙΜΟΚΛΕΟΥΣ

I.

Ἀγορὰν ἰδεῖν εὔοψον, εὐποροῦντι μὲν
ἥδιστον· ἂν δ' ἀπορῇ τις, ἀθλιώτατον.

II.

Ὦ 'τὰν, ἄκουσον, ἤν τι σοι δοκῶ λέγειν.
ἄνθρωπός ἐστι ζῶον ἐπίπονον φύσει,
καὶ πολλὰ λυπήρ' ὁ βίος ἐν ἑαυτῷ φέρει.
παραψυχὰς οὖν φροντίδων ἀνεύρατο
ταύτας. ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβὼν,
πρὸς ἀλλοτρίῳ τε ψυχαγωγηθεὶς πάθει,
μεθ' ἡδονῆς ἀπῆλθε, παιδευθεὶς ἅμα.
τοὺς γὰρ τραγῳδοὺς πρῶτον, εἰ βούλει, σκόπει,
ὡς ὠφελοῦσι πάντας. ὧν μὲν γὰρ πένης,
πτωχότερον αὐτοῦ καταμαθὼν τὸν Τήλεφον
γενόμενον, οὕτω τὴν πενίαν ῥᾷον φέρει.
ὁ νοσῶν τι μανικὸν, Ἀλκμαίων' ἐσκέψατο.

ὀφθαλμιᾷ τις· εἰσὶ Φινεῖδαι τυφλοί.
τέθνηκέ τῳ παῖς· ἡ Νιόβη κεκούφικε.
χωλός τις ἔστι· τὸν Φιλοκτήτην ὁρᾷ.
γέρων τις ἀτυχεῖ, κατέμαθεν τὸν Οἰνέα.
ἅπαντα γάρ τοι, μεῖζον᾽ ἢ πέπονθέ, τις
ἀτυχήματ᾽ ἄλλοις γεγονότ᾽ ἐννοούμενος,
τὰς αὐτὸς αὑτοῦ συμφορὰς ἧττον στένει.

ΕΚ ΤΩΝ ΚΛΕΑΡΧΟΥ.

Εἰ τοῖς μεθυσκομένοις ἑκάστης ἡμέρας
ἀλγεῖν συνέβαινε τὴν κεφαλὴν πρὸ τοῦ πιεῖν
τὸν ἄκρατον, ἡμῶν οὐδὲ εἷς ἔπινεν ἄν·
νῦν δὲ πρότερόν γε τοῦ πόνου τὴν ἡδονὴν
προλαμβάνοντες ὕστεροῦμεν τἀγαθοῦ.

ΓΝΩΜΑΙ ΜΟΝΟΣΤΙΧΟΙ

ΕΚ ΔΙΑΦΟΡΩΝ ΠΟΙΗΤΩΝ

ΚΑΤΑΚΕΦΑΛΑΙΑ ΣΥΝΤΕΤΑΓΜΕΝΑΙ.

ΕΙΣ ΑΓΑΘΟΝ ΑΝΔΡΑ.

Ἀνὴρ δὲ χρηστὸς χρηστὸν οὐ μισεῖ ποτέ.
Ἰνώμης γὰρ ἐσθλῆς ἔργα χρηστὰ γίγνεται.
Ἐσθλῷ γὰρ ἀνδρὶ ἐσθλὰ καὶ διδοῖ θεός.
Ζήλου τὸν ἐσθλὸν ἄνδρα καὶ τὸν σώφρονα.

ΕΙΣ ΑΛΗΘΕΙΑΝ.

Ἐλευθέρου γὰρ ἀνδρὸς, ἀλήθειαν λέγειν.
Ἡ γλῶσσ' ἁμαρτάνουσα τἀληθῆ λέγει.

ΕΙΣ ΑΜΑΡΤΙΑΝ.

Αἰσχρὸν δὲ μηδὲν πράττε, μηδὲ μάνθανε.
Ἁμαρτάνει τι καὶ σοφοῦ σοφώτερος.
Δὶς ἐξαμαρτεῖν ταυτὸν, οὐκ ἀνδρὸς σοφοῦ.
Ἔργων πονηρῶν χεῖρ' ἐλευθέραν ἔχε.
Ὁ μηδὲν εἰδὼς οὐδὲν ἐξαμαρτάνει.

ΕΙΣ ΑΝΑΓΚΗΝ.

Οὐδεὶς ἀνάγκης μεῖζον ἰσχύει νόμος.
Πρὸς τὴν ἀνάγκην πάντα τἄλλ' ἔστ' ἀσθενῆ.
Τὸ τῆς ἀνάγκης οὐ λέγειν ὅσον ζυγόν.
Ὑπὸ τῆς ἀνάγκης πάντα δουλοῦται ταχύ.
Ὑπὸ τῆς ἀνάγκης πολλὰ ποιοῦμεν κακά.
Χρεία διδάσκει, κἂν βραδύς τις ᾖ, σοφόν.

ΕΙΣ ΑΡΓΙΑΝ.

Ἀνάπαυσίς ἐστι τῶν κακῶν, ἀπραξία.

ΕΙΣ ΑΡΕΤΗΝ.

Ἀρετή, μέγιστον τῶν ἐν ἀνθρώποις καλῶν.
Ἀρετῆς βέβαιαι δ' εἰσὶν αἱ κτήσεις μόναι.
Ἃ μὴ προσήκει μήτ' ἄκουε, μήθ' ὅρα.
Βέλτιόν ἐστι σῶμά γ' ἢ ψυχὴν νοσεῖν.
Ἐλεύθερον φύλασσε τὸν σαυτοῦ τρόπον.
Ἔστιν δὲ καρπὸς ἀγαθὸς εὔτακτος βίος.
Καλὸν φύουσι καρπὸν οἱ σεμνοὶ τρόποι.
Λάβε πρόνοιαν τοῦ προσήκοντος βίου.
Μακάριος ὅστις μακαρίοις ὑπηρετεῖ.
Ὅπλον μέγιστόν ἐστιν ἡ ἀρετὴ βροτοῖς.
Σαυτὸν φύλαττε τοῖς τρόποις ἐλεύθερον.
Ψυχῆς ἐπιμελοῦ τῆς σεαυτοῦ καθὰ δύνῃ.
Ψυχὴν ἔθιζε πρὸς τὰ χρηστὰ πράγματα.

ΕΙΣ ΑΧΑΡΙΣΤΙΑΝ.

Ἀχάριστος ὅστις εὖ παθὼν ἀμνημονεῖ.

Ἀεὶ δ' ὁ σωθεὶς ἐστιν ἀχάριστος φύσει.
Ἀμὴ ἠλέηται, καὶ τέθνηκεν ἡ χάρις.
Ἐπιλανθάνονται πάντες οἱ παθόντες εὖ.
Καλόν γε θησαύρισμα, κειμένη χάρις.
Μετὰ τὴν δόσιν τάχιστα γηράσκει χάρις.
Χάριν λαβὼν εὔκαιρον, εὔκαιρον δίδου.
Χάριν χαρίζου, καθ' ὅσον ἰσχύεις ὅμως.
Χάριτας δικαίας καὶ δίδου καὶ λάμβανε.
Χάριν λαβὼν μέμνησο, καὶ δοὺς ἐπιλάθου.

ΕΙΣ ΒΑΣΙΛΕΑ.

Ἀρχῆς τετευχὼς, ἴσθι ταύτης ἄξιος.
Εἰκὼν δὲ βασιλεύς ἐστιν ἔμψυχος θεοῦ.

ΕΙΣ ΒΙΟΝ.

Ἀμελοῦντα τοῦ ζῆν οὐκ ἔνεστ' εὐσχημονεῖν.
Ἄνθρωπός ἐστι πνεῦμα καὶ σκιὰ μόνον.
Βιοῖ μὲν οὐδεὶς ὃν προαιρεῖται βίον.
Βίος ἐστὶν, ἄν τις τῷ βίῳ χαίρῃ βιῶν.
Βίος κέκληται δ', ὅτι βίᾳ πορίζεται.
Γῆ πάντα τίκτει, καὶ πάλιν κομίζεται.
Ζῶμεν γὰρ οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα.
Οὐ γὰρ θέμις ζῆν πλὴν θεοῖς ἄνευ κακῶν.
Οὐκ ἔστι βίον εὑρεῖν ἄλυπον οὐδενί.
Τὸ ζῆν ἀλύπως, ἀνδρός ἐστιν εὐτυχοῦς.
Τυφλόν γε καὶ δύστηνον ἀνθρώποις βίος.
Ὡς ἡδὺς ὁ βίος, ἄν τις αὐτὸν μὴ μάθῃ.

ΕΙΣ ΒΟΗΘΕΙΑΝ.

Ἀνὴρ γὰρ ἄνδρα, καὶ πόλις σώζει πόλιν.
Μέμνησο πλουτῶν τοὺς πένητας ὠφελεῖν.
Ὑπὲρ γυναικὸς καὶ φίλου πονητέον.
Χεὶρ χεῖρα νίπτει, δάκτυλός τε δάκτυλον.

ΕΙΣ ΒΟΥΛΗΝ.

Ἀνὴρ ἄβουλος ἐς κενὸν μοχθεῖ τρέχων.
Ἀβουλίᾳ γὰρ πολλὰ βλάπτονται βροτοί.
Ἀνὴρ ἄβουλος ἡδοναῖς θηρεύεται.
Βουλῆς γὰρ ὀρθῆς οὐδὲν ἀσφαλέστερον.
Βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς.
Ἐν νυκτὶ βουλὴ τοῖς σοφοῖσι γίγνεται.
Σοφοῦ παρ' ἀνδρὸς προσδέχου συμβουλίαν.
Σοφὴ σοφῶν γὰρ γίγνεται συμβουλία.

ΕΙΣ ΓΑΜΟΝ.

Ἄλυπον ἕξεις τὸν βίον χωρὶς γάμου.
Γαμεῖν δ μέλλων εἰς μετάνοιαν ἔρχεται.
Γάμος γὰρ ἀνθρώποισιν εὐκταῖον κακόν.
Γαμεῖν δὲ μέλλων, βλέψον εἰς τοὺς γείτονας.
Δαίμων ἑαυτῷ πλουσίαν γήμας ἔσῃ.
Ἐκ τῶν ὁμοίων οἱ κακοὶ γαμοῦσ' ἀεί.
Ζευχθεὶς γάμοισιν οὐκ ἐλεύθερός γ' ἔσῃ.
Ἦθος προκρίνειν χρημάτων γαμοῦντα δεῖ.
Μηδέποτε γήμῃ μηδὲ εἰς εὔνους ἐμοί.
Νόμιζε γήμας δοῦλος εἶναι τῷ βίῳ.

Νύμφη δ' ἄπροικος οὐκ ἔχει παῤῥησίαν.
Ὁ μὴ γαμῶν ἄνθρωπος οὐκ ἔχει κακά.
Ῥᾷον βίον ζῇς, ἂν γυναῖκα μὴ τρέφῃς.
Ὡς ἔστι τὸ γαμεῖν ἔσχατον τοῦ δυστυχεῖν.
Ὡς τρισκακοδαίμων, ὅστις ὢν πένης γαμεῖ.

ΕΙΣ ΓΕΛΩΤΑ.

Γέλως ἄκαιρος ἐν βροτοῖς δεινὸν κακόν.
Γελᾷ δ' ὁ μῶρος, κἂν τι μὴ γελοῖον ᾖ.

ΕΙΣ ΓΗΡΑΣ.

Γῆρας διδάσκει πάντα, καὶ χρόνου τριβή.
Γνῶμαι δ' ἀμείνους εἰσὶ τῶν γεραιτέρων.
Ἐσθλοῦ γὰρ ἀνδρὸς γῆρας εὐπροσήγορον.
Ἐφόδιον εἰς τὸ γῆρας αἰεὶ κατατίθου.
Ἥξει τὸ γῆρας πᾶσαν αἰτίαν φέρον.
Καλὸν τὸ γηρᾶν, καὶ τὸ μὴ γηρᾶν πάλιν.
Ὁμιλίας δὲ τὰς γεραιτέρας φίλει.
Ὀχληρός ἐστιν ἐν νέοις ἀνὴρ γέρων.
Πολιὰ χρόνου μήνυσις, οὐ φρονήσεως.
Τοῦ ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ.
Φοβοῦ τὸ γῆρας· οὐ γὰρ ἔρχεται μόνον.
Χαλεπὸν τὸ γῆράς ἐστιν ἀνθρώποις βάρος.

ΕΙΣ ΓΟΝΕΙΣ.

Βεβαιοτάτην φιλίαν ἔχε πρὸς τοὺς γονεῖς.
Βούλου γονεῖς πρὸ παντὸς ἐν τιμαῖς ἔχειν.

Γονεῖς δὲ τίμα καὶ φίλους εὐεργέτει.
Γεννητόρων ἔκατι κατθανεῖν καλόν.
Ἔλπιζε, τιμῶν τοὺς γονεῖς, πράξειν καλῶς.
Ἡδύ γε πατὴρ φρόνησιν ἀντ' ὀργῆς ἔχων.
Θεὸς μέγιστος τοῖς φρονοῦσιν οἱ γονεῖς.
Ἱκανῶς βιώσεις, γηροβοσκῶν τοὺς γονεῖς.
Νόμιζε σαυτῷ τοὺς γονεῖς εἶναι θεούς.
Πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ.
Ὡς ἡδὺ τῷ φύσαντι πείθεσθαι τέκνα.

ΕΙΣ ΓΥΝΑΙΚΑ.

Βίου σπάνις πέφυκεν ἀνδράσιν γυνή.
Γυναικὶ πάσῃ κόσμον ἡ σιγὴ φέρει.
Γυναικὸς ἐσθλῆς ἐστὶ σώζειν οἰκίαν.
Γυναικὶ κόσμος ὁ τρόπος, οὐχὶ χρυσία.
Γυνὴ δικαία, τοῦ βίου σωτηρία.
Γυναικὸς ἐσθλῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον.
Γυναῖκα θάπτειν κρεῖσσόν ἐστιν ἢ γαμεῖν.
Γυνὴ τὸ σύνολόν ἐστι δαπανηρὸν φύσει.
Γυναικὶ μὴ πίστευε τὸν σαυτοῦ βίον.
Γυνὴ γὰρ οὐδὲν οἶδε, πλὴν ὃ βούλεταὶ.
Γυνὴ δὲ χρηστὴ πηδάλιον ἔστ' οἰκίας.
Γυναικὶ δ' ἄρχειν οὐ δίδωσιν ἡ φύσις.
Γυνὴ γὰρ οἴκῳ πῆμα καὶ σωτηρία.
Γυνὴ γυναικὸς πώποτ' οὐδὲν διαφέρει.
Ἐν γὰρ γυναιξὶ πίστιν οὐκ ἔνεστ' ἰδεῖν.
Ζῆλος γυναικὸς πάντα πυρπολεῖ δόμον.
Ζήτει γυναῖκα σύμμαχον τῶν πραγμάτων.

Ζῆν οὐκ ἔδει γυναῖκα κατὰ πολλοὺς τρόπους.
Θησαυρός ἐστι τῶν κακῶν κακὴ γυνή.
Θηρῶν ἁπάντων ἀγριωτέρα γυνή.
Θάλασσα, καὶ πῦρ, καὶ γυνὴ, κακὰ τρία.
Ἱστοὶ γυναικῶν ἔργα, κοὐκ ἐκκλησίαι.
Ἰὸς πέφυκεν ἀσπίδος κακὴ γυνή.
Ἴσον λεαίνης καὶ γυναικὸς ὠμότης.
Καλὸν γυναικὸς εἰσορᾶν καλοὺς τρόπους.
Λύπη παροῦσα πάντοτ' ἐστὶν ἡ γυνή.
Λέοντι συζῆν, ἢ γυναικὶ συμβιοῦν.
Μεστὸν κακῶν πέφυκε φορτίον γυνή.
Ὅπου γυναῖκές εἰσι, πάντ' ἐκεῖ κακά.
Οὐδὲν γυναικὸς χεῖρον, οὐδὲ τῆς καλῆς.
Πολλοὶ γυναικῶν δυστυχοῦσιν οὕνεκα.
Ῥύπος γυνὴ πέφυκεν ἠργυρωμένος.
Τερπνὸν κακὸν πέφυκεν ἀνθρώποις γυνή.
Ὑπερήφανον πρᾶγμ' ἐστὶν ὡραία γυνή.
Ὑπὲρ γυναικὸς καὶ φίλου πονητέον.
Φύσει γυνὴ δυσήνιόν ἐστι καὶ πικρόν.
Χειμὼν κατ' οἴκους ἐστὶν ἀνδράσιν γυνή.
Ὡς ἔστ' ἄπιστος ἡ γυναικεία φύσις.

ΕΙΣ ΔΗΜΟΝ.

Ἰσχυρὸν ὄχλος ἐστὶν, οὐκ ἔχει δὲ νοῦν.

ΕΙΣ ΔΙΚΑΙΟΝ.

Ἀνδρὸς δικαίου καρπὸς οὐκ ἀπόλλυται.
Ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός.

Βάθιζε τὴν εὐθεῖαν, ἣν δίκαιος ᾖς.
Βίου δικαίου γίγνεται τέλος καλόν.
Δίκαιος ἴσθ', ἵνα καὶ δικαίων δὴ τύχῃς.
Δίκαιος εἶναι, μᾶλλον ἢ χρηστὸς θέλε.
Δίκαια δράσας συμμάχου τεύξῃ θεοῦ.
Δίκαιος ἐὰν ᾖς, τῷ τρόπῳ χρήσῃ νόμῳ.
Δίκαιος ἀδικεῖν οὐκ ἐπίσταται τρόπος.
Ἐν παντὶ δεῖ καιρῷ τὸ δίκαιον ἐπικρατεῖν.
Ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου.
Πρὸς εὖ λέγοντας οὐδὲν ἀντειπεῖν ἔχω.
Τοῖς γὰρ δικαίοις ἀντέχειν οὐ ῥᾴδιον.
Τρόπος δίκαιος, κτῆμα τιμιώτατον.
Τὸ μηδὲν ἀδικεῖν πᾶσιν ἀνθρώποις πρέπει.
Τὸ μηδὲν ἀδικεῖν καὶ φιλανθρώπους ποιεῖ.
Χρηστοῦ παρ' ἀνδρὸς μηδὲν ὑπονόει κακόν.

ΕΙΣ ΔΟΞΑΝ.

Καλῶς ἀκούειν μᾶλλον ἢ πλουτεῖν θέλε.
Κενῆς δὲ δόξης οὐδὲν ἀθλιώτερον.

ΕΙΣ ΔΟΥΛΟΥΣ ΚΑΙ ΔΕΣΠΟΤΑΣ.

Δούλου δὲ χεῖρον οὐδέν, οὐδὲ τοῦ καλοῦ.
Εἷς ἐστὶ δοῦλος οἰκίας ὁ δεσπότης.
Λυπεῖ με δοῦλος δεσπότου μεῖζον φρονῶν.
Φεύγειν ἀεὶ δεῖ δεσπότας θυμουμένους.

ΕΙΣ ΔΥΣΤΥΧΙΑΝ.

Ἄνθρωπος· ἱκανὴ πρόφασις εἰς τὸ δυστυχεῖν.

Δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ' εὐτυχεῖς.
Δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται.
Ἐν ἀνδρὶ δυστυχοῦντι μὴ πλάσῃς κακόν.
Μὴ μβαινε δυστυχοῦντι, κοινὴ γὰρ Τύχη.
Μηδέποτε σαυτὸν δυστυχῶν ἀπελπίσῃς.
Νόμιζε κοινὰ πάντα δυστυχήματα.
Οἴ μοι· τὸ γὰρ ἄφνω δυστυχεῖν μανίαν ποιεῖ.
Τῶν δυστυχούντων εὐτυχὴς οὐδεὶς φίλος.

ΕΙΣ ΕΓΚΡΑΤΕΙΑΝ.

Ἡ κοιλία καὶ πολλὰ χωρεῖ, κῷλίγα.

ΕΙΣ ΕΛΠΙΔΑ.

Ἄνθρωπος ἀτυχῶν, σώζεται ταῖς ἐλπίσι.
Ἄελπτον οὐδέν· πάντα δ' ἐλπίζειν χρεών.
Αἱ δ' ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτῶν.
Ἐν ἐλπίσιν χρὴ τοὺς σοφοὺς ἔχειν βίον.

ΕΙΣ ΕΠΑΙΝΟΝ.

Ὑπὲρ σεαυτοῦ μὴ φράσῃς ἐγκώμια.
Φίλων ἔπαινον μᾶλλον ἢ σαυτοῦ λέγε.

ΕΙΣ ΕΥΓΕΝΗ.

Ἀνὴρ ἄριστος οὐκ ἂν εἴη δυσγενής.
Ζῆν αἰσχρὸν αἰσχρῶς τοῖς καλῶς πεφυκόσιν.

ΕΙΣ ΕΥΤΥΧΙΑΝ.

Βέβαια δ' οὐδεὶς θνητὸς εὐτυχεῖ γεγώς.

Δίκαιον εὖ πράττοντα μεμνῆσθαι θεοῦ.
Ἐσθλῶν κακίους ἐνίοτ' εὐτυχέστεροι.
Εὐδαιμονί' εἴωθεν ὑπερηφανίας ποιεῖν.
Ἔνιοι κακῶς φρονοῦσι πράσσοντες καλῶς.
Θεῶν δ' ὄνειδος τοὺς κακοὺς εὐδαιμονεῖν.
Ἰδίαν κατὰ φρόνησιν οὐδεὶς εὐτυχεῖ.
Καλὸν δὲ κοινὸν ἔστι χρηστὸς εὐτυχῶν.
Μήπω μέγαν εἴπῃς, πρὶν τελευτήσαντ' ἴδῃς.
Πολλοὶ μὲν εὐτυχοῦσιν, οὐ φρονοῦσι δέ.
Τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν.
Τῶν εὐτυχούντων πάντες εἰσὶ συγγενεῖς.
Τίς δ' οὐκ ἂν εἴη χρηστός, ὄλβιος γεγώς;
Ὡς εὐκόλως πίπτουσιν αἱ λαμπραὶ τύχαι.

ΕΙΣ ΕΥΣΕΒΕΙΑΝ.

Θνητοὶ γεγῶτες μὴ φρονεῖθ' ὑπὲρ θεούς.
Ὑπὲρ εὐσεβείας καὶ λάλει καὶ μάνθανε.

ΕΙΣ ΕΥΧΗΝ.

Εὐχῆς δικαίας οὐκ ἀνήκοος θεός.

ΕΙΣ ΕΡΩΤΑ.

Γέρων ἐραστής, ἐσχάτη κακὴ τύχη.
Μόνον ἔστ' ἀπαρηγόρητον ἀνθρώποις ἔρως.
Ὀργὴ φιλούντων ὀλίγον ἰσχύει χρόνον.
Πολλοῖς ὑπέκκαυμ' ἔστ' ἔρωτος μουσική.
Φεῦ φεῦ· βροτοῖς ἔρωτες ὡς κακὸν μέγα.

ΕΙΣ ΕΧΘΡΑΝ.

Ἐχθροὺς ἀμύνου μὴ ᾽πὶ τῇ σαυτοῦ βλάβῃ.
Ἐχθροῖς ἀπιστῶν οὔ ποτ᾽ ἂν πάθοις βλάβην.
Λόγον παρ᾽ ἐχθροῦ μή ποθ᾽ ἡγήσῃ φίλον.

ΕΙΣ ΖΩΗΝ.

Ζῆν βουλόμενος, μὴ πράττε θανάτου ἄξια.
Ζῆν αἰσχρὸν, οἷς ζῆν ἐφθόνησεν ἡ τύχη.
Πάντες καλῶς ζῆν θέλομεν, ἀλλ᾽ οὐ δυνάμεθα.
Τί ζῆν ὄφελος, ᾧ μὴ ᾽στι τὸ ζῆν εἰδέναι;
Ὡς ἡδὺ τὸ ζῆν, μὴ φθονούσης τῆς τύχης.

ΕΙΣ ΗΔΟΝΗΝ.

Ἐξ ἡδονῆς γὰρ φύεται τὸ δυστυχεῖν.
Ἡ γὰρ παράκαιρος ἡδονὴ τίκτει βλάβην.
Οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο.
Φεῦγ᾽ ἡδονὴν φέρουσαν ὕστερον βλάβην.
Ὡς πολλὰ διὰ τὰς ἡδονὰς λυπούμεθα.

ΕΙΣ ΘΑΝΑΤΟΝ.

Ἀλλ᾽ ἔσθ᾽ ὁ θάνατος λοῖσθος ἰατρὸς νόσων.
Βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται.
Ζωῆς πονηρᾶς θάνατος εὐπορώτερος.
Ἢ ζῆν ἀλύπως, ἢ θανεῖν εὐδαιμόνως.
Θνητὸς πεφυκὼς μὴ γέλα τεθνηκότα.
Καλὸν τὸ θνήσκειν, οἷς ὕβριν τὸ ζῆν φέρει.
Κρεῖσσον τὸ μὴ ζῆν ἐστὶν, ἢ ζῆν ἀθλίως.
Ὃν οἱ θεοὶ φιλοῦσιν, ἀποθνήσκει νέος.
Τὸ γὰρ θανεῖν οὐκ αἰσχρὸν, ἀλλ᾽ αἰσχρῶς θανεῖν.

ΕΙΣ ΘΕΟΝ ΚΑΙ ΤΗΝ ΘΕΙΑΝ ΔΙΚΗΝ.

Ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην.
Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι.
Θεὸς συνεργῶν πάντα ποιεῖ ῥᾳδίως.
Θεοῦ γὰρ οὐδεὶς εὐτυχεῖ βροτῶν ἄνευ.
Θεοῦ θέλοντος κἂν ἐπὶ ῥίπὸς πλέοις.
Θεῷ μάχεσθαι δεινόν ἐστι καὶ τύχῃ.
Θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός.
Καὶ ζῶν δ φαῦλος καὶ θανὼν κολάζεται.
Λήσειν διὰ τέλους μὴ δόκει πονηρὸς ὤν.
Ὅ τι δ' ἂν ποιῇς νόμιζ' ὁρᾷν θεοὺς τινας.
Οὐδεὶς παρανομῶν πρὸς θεοὺς ἐχέγγυος.
Πάντη γάρ ἐστι, πάντα τε βλέπει θεός.
Τὸ μὴ δίκαιον ἔργον οὐ λήθει θεούς.

ΕΙΣ ΙΑΤΡΟΥΣ.

Πολλῶν ἰατρῶν εἷς θὸς μ' ἀπώλεσεν.

ΕΙΣ ΚΑΙΡΟΝ.

Ἅπαντα καιρῷ χάριν ἔχει τρυγώμενα.
Καλὸν τὸ καιροῦ παντὸς εἰδέναι μέτρον.
Καιρὸς γάρ ἐστι τῶν νόμων κρείττων πολύ.
Καιροὶ δὲ καταλύουσι τὰς τυραννίδας.
Καιροῦ τυχὼν γὰρ πτωχὸς ἰσχύει μέγα.
Πολλῶν δ καιρὸς γίγνεται παραίτιος.
Πολλοὺς δ καιρὸς ἄνδρας οὐκ ὄντας ποιεῖ.
Τάχιστ' δ καιρὸς μεταφέρει τὰ πράγματα.
Τὸν καιρὸν εὔχου πάντοθ' ἵλεων ἔχειν.

Ὡς μέγα τὸ μικρὸν ἐστιν ἐν καιρῷ δοθέν.
Ὥρα τὰ πάντα τοῦ βίου κρίνει καλῶς.

ΕΙΣ ΚΑΛΛΟΣ.

Δύσμορφος εἴην μᾶλλον, ἢ καλὸς κακός.
Μὴ κρῖν', ὁρῶν τὸ κάλλος, ἀλλὰ τὸν τρόπον.
Ὡς ἡδὺ κάλλος, ὅταν ἔχῃ νοῦν σώφρονα.

ΕΙΣ ΚΕΡΔΟΣ.

Βίον πορίζου πάντοθεν πλὴν ἐκ κακῶν.
Βέλτιστε, μὴ τὸ κέρδος ἐν πᾶσι σκόπει.
Εἰ μὴ τὸ λαβεῖν ἦν, οὐδ' ἂν εἷς πονηρὸς ἦν.
Ζήτει συναγαγεῖν ἐκ δικαίων τὸν βίον.
Ἦθος πονηρὸν φεῦγε καὶ κέρδος κακόν.
Κέρδος πονηρὸν μὴ λαβεῖν βούλου ποτέ.
Κακοῖς τὸ κέρδος, τῆς δίκης ὕπερτερον.
Κέρδη πονηρὰ ζημίαν ἀεὶ φέρει.
Τὰ μικρὰ κέρδη μείζονας βλάβας φέρει.
Τὸ κέρδος ἡγοῦ κέρδος, ἂν δίκαιον ᾖ.
Τὰ δ' αἰσχρὰ κέρδη συμφορὰς ἐργάζεται.

ΕΙΣ ΚΡΙΣΙΝ.

Ἀνεξέταστον μὴ κάλαζε μηδένα.
Κατηγορεῖν οὐκ ἔστι, καὶ κρίνειν ὁμοῦ.
Κρίνειν τὸ δίκαιον, μὴ τὸ συμφέρον. Στέλ.

ΕΙΣ ΚΡΥΦΙΑ.

Ἀφεὶς τὰ φανερὰ μὴ δίωκε τἀφανῆ.

Ἢ μὴ ποίει τὸ κρυπτόν, ἢ μόνος ποίει.
Σοφοὶ δὲ συγκρύπτουσιν οἰκείας βλάβας.
Ὑπόνοια δεινόν ἐστιν ἀνθρώποις κακόν.

ΕΙΣ ΛΙΜΟΝ.

Ἅπανθ' ὁ λιμὸς γλυκέα πλὴν αὑτοῦ ποιεῖ.
Γαστὴρ ἄναλτος καὶ νεῶν εὗρεν δρόμον.
Λιμὸς μέγιστον ἄλγος ἀνθρώποις ἔφυ.
Λιμῷ γὰρ οὐδὲν ἐστιν ἀντειπεῖν ἔπος.
Πολλῶν δ' λιμὸς γίγνεται διδάσκαλος.

ΕΙΣ ΛΟΓΟΝ.

Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.
Ἰατρὸς ὁ λόγος τοῦ κατὰ ψυχὴν πάθους.
Ἰσχυρότερον δέ γ' οὐδέν ἐστι τοῦ λόγου.
Λόγος γάρ ἐστι φάρμακον λύπης μόνον.
Λόγοις ἀμείβου τὸν λόγοις πειθόντά σε.
Λύπην γὰρ εὔνους οἶδεν ἰᾶσθαι λόγος.
Λόγῳ διοικεῖται βροτῶν βίος μόνῳ.
Ξίφος τιτρώσκει σῶμα, τὸν δὲ νοῦν λόγος.
Οὐκ ἔστ' ἀπ' ἔργων μὴ καλῶν ἔπη καλά.
Ὀργῆς ματαίας εἰσὶν αἴτιοι λόγοι.
Ῥῆμα παρὰ καιρὸν ῥιφθὲν ἀνατρέπει βίον.
Ῥίψας λόγον τις οὐκ ἀναιρεῖται πάλιν.
Σοφῷ παρ' ἀνδρὶ πρῶτον εὑρέθη λόγος.
Χωρὶς τό τ' εἰπεῖν πολλὰ καὶ τὸ τὰ καίρια.
Χρηστὸς πονηροῖς οὐ τιτρώσκεται λόγοις.
Ψυχῆς νοσούσης ἐστὶ φάρμακον λόγος.

ΕΙΣ ΛΥΠΗΝ.

Ἀεὶ τὸ λυποῦν ἐκδίωκε τοῦ βίου.
Ἆρ' ἐστὶ συγγενές τι λύπη καὶ βίος.
Βιοῦν ἀλύπως θνητὸν ὄντ' οὐ ῥᾴδιον.
Λύπη μανίας ὁμότοιχος εἶναί μοι δοκεῖ.
Λύπαι γὰρ ἀνθρώποισι τίκτουσιν νόσους.
Νόσον πολὺ κρεῖττόν ἐστιν, ἢ λύπην φέρειν.
Οὐκ ἔστι λύπης χεῖρον ἀνθρώπῳ κακόν.

ΕΙΣ ΜΕΘΗΝ.

Καλὸν τὸ νήφειν, ἢ τὸ πολλὰ κραιπαλᾶν.
Κάτοπτρον εἴδους χαλκός ἐστ', οἶνος δὲ νοῦ.
Ὁ πολὺς ἄκρατος μικρ' ἀναγκάζει φρονεῖν.

ΕΙΣ ΤΟ ΜΕΛΛΟΝ.

Θνητὸς πεφυκὼς τοὐπίσω πειρῶ βλέπειν.
Μένει δ' ἕκαστον τοῦθ', ὅπερ μέλλει παθεῖν.
Μή μοι γένοιθ' ἃ βούλομ', ἀλλ' ἃ συμφέρει.

ΕΙΣ ΜΕΤΑΝΟΙΑΝ.

Ἡ δὲ μετάνοια γίγνετ' ἀνθρώποις κρίσις.

ΕΙΣ ΜΕΤΡΙΟΤΗΤΑ.

Ἄνθρωπον ὄντα σαυτὸν ἀναμίμνησκ' ἀεί.
Βούλου δ' ἀρέσκειν πᾶσι, μὴ σαυτῷ μόνον.
Εἰ θνητὸς εἶ, βέλτιστε, θνητὰ καὶ φρόνει.
Ἐν δ' εὐπροσηγόροισιν ἔστι τις χάρις.

Ἴσος μὲν ἴσθι πᾶσι, κἂν προὔχῃς βίῳ.
Καλὸν φρονεῖν τὸν θρητὸν ἀνθρώποις ἴσα.
Σωτηρίας σημεῖον, ἥμερος τρόπος.
Τὸ ΓΝΩΘΙ ΣΑΥΤΟΝ πανταχοῦ ’στι χρήσιμον.

ΕΙΣ ΜΗΤΡΥΙΑΝ.

Δεινότερον οὐδὲν ἄλλο μητρυιᾶς κακόν.

ΕΙΣ ΝΑΥΤΙΛΙΑΝ.

Ἐν γῇ πένεσθαι κρεῖττον, ἢ πλουτοῦντα πλεῖν.

ΕΙΣ ΝΕΟΤΗΤΑ.

Ἀκμὴ τὸ σύνολον οὐδὲν ἄνθους διαφέρει.
Μέμνησο νέος ὢν, ὡς γέρων ἔσῃ ποτέ.
Νέος πεφυκὼς πολλὰ χρηστὰ μάνθανε.
Νέῳ δὲ σιγᾶν μᾶλλον ἢ λαλεῖν πρέπει.
Νέος ὢν ἀκούειν τῶν γεραιτέρων θέλε.

ΕΙΣ ΝΟΜΟΥΣ.

Ἀναρχίας δὲ μεῖζον οὐκ ἔστιν κακόν.
Βίας παρούσης οὐδὲν ἰσχύει νόμος.
Ἰσχυρὸν ὁ νόμος ἐστὶν, ἢν ἄρχων ᾖ.
Νόμῳ τὰ πάντα γίγνεται καὶ κρίνεται.
Νόμοις ἕπεσθαι τοῖσιν ἐγχώροις καλόν.
Ῥήτωρ πονηρὸς τοὺς νόμους λυμαίνεται.

ΕΙΣ ΞΕΝΟΥΣ.

Ξένους πένητας μὴ παραδράμῃς ἰδών.

Ξένοις ἐπαρκῶν τῶν ἴσων τεύξῃ ποτέ.
Ξενίας ἀεὶ φρόντιζε, μὴ καθυστέρει.
Ξένοισι πιστοῖς πιστὸς ὢν γίγνου φίλος.
Ξένον ἀδικήσεις μηδέποτε καιρὸν λαβών.
Ξένῳ μάλιστα συμφέρει τὸ σωφρονεῖν.
Ξένος ὢν, ἀπράγμων ἴσθι, καὶ πράξεις καλῶς.
Ξένον προτιμᾶν μᾶλλον ἀνθρώποις ἔθος.
Ξένον δὲ σιγᾶν κρεῖττον ἢ κεκραγέναι.
Ξένος πεφυκὼς τοὺς ξενοδόκους σέβου.
Ξένους ξένιζε· καὶ σὺ γὰρ ξένος γ' ἔσῃ.
Πλάνη βίον τίθησι σωφρονέστερον.

ΕΙΣ ΟΡΚΟΝ.

Ἀνδρῶν δὲ φαύλων ὅρκον εἰς ὕδωρ γράφε.
Ἀφροδίσιος γὰρ ὅρκος οὐκ ἐμποίνιμος.
Θεὸν ἐπιορκῶν μὴ δόκει λεληθέναι.
Ὅρκον δὲ φεῦγε, κἂν δικαίως ὀμνύῃς.
Ὅρκος γὰρ οὐδεὶς ἀνδρὶ φηλήτῃ βαρύς.
Οὐκ ἀνδρὸς ὅρκοι πίστις, ἀλλ' ὅρκων ἀνήρ.

ΕΙΣ ΟΡΓΗΝ.

Ἄνθρωπος ὢν, γίγνωσκε τῆς ὀργῆς κρατεῖν.
Βλάπτει τὸν ἄνδρα θυμὸς εἰς ὀργὴν πεσών.
Γίγνου δ' ἐς ὀργὴν μὴ ταχὺς γ', ἀλλὰ βραδύς.
Ἔξω γὰρ ὀργῆς πᾶς ἀνὴρ σοφώτερος.
Ζήσεις βίον κράτιστον, ἂν θυμοῦ κρατῇς.
Θυμοῦ κρατῆσαι κἀπιθυμίας καλόν.
Νίκησον ὀργὴν τῷ λογίζεσθαι καλῶς.

Ὀργὴ δὲ πολλὰ δρᾶν ἀναγκάζει κακά.
Ὀργῇ δὲ φαύλῃ πόλλ' ἔνεστ' ἀσχήμονα.
Ὅσος τὸ κατέχειν ἐστὶ τὴν ὀργὴν πόνος.
Οὐδεὶς μετ' ὀργῆς ἀσφαλῶς βουλεύεται.
Πόλλ' ἔστιν ὀργῆς ἐξ ἀπαιδεύτου κακά.
Ὦ μῶρε, θυμὸς ἐν κακοῖς οὐ ξύμφορον.
Ὡς οἶδ' ἐν ὀργῇ πάντα γίγνεσθαι κακά.

ΕΙΣ ΠΑΙΔΑΣ.

Αὐθαίρετος λύπη 'στὶν ἡ τέκνων σπορά.
Μακάριόν ἐστιν υἱὸν εὔτακτον τρέφειν.
Μακάριος, ὅστις εὐτύχησεν εἰς τέκνα.
Στύλοι γὰρ οἴκων παῖδές εἰσιν ἄρσενες.
Χαλεπόν γε θυγάτηρ κτῆμα, καὶ δυσδιάθετον.
Φιλίας μέγιστος δεσμὸς, αἱ τέκνων γοναί.
Ὦ παῖδες, οἷον φίλτρον ἀνθρώποις φρενός.

ΕΙΣ ΠΑΙΔΕΙΑΝ.

Ἀναφαίρετον κτῆμ' ἐστὶ παιδεία βροτοῖς.
Ἅπαντας ἡ παίδευσις ἡμέρους ποιεῖ.
Ἄριστόν ἐστι πάντ' ἐπίστασθαι καλά.
Αὐτά σε διδάσκει τοῦ βίου τὰ πράγματα.
Βλέπων πεπαίδευμ' ἐς τὰ τῶν ἄλλων κακά.
Βακτηρία γάρ ἐστι παιδεία βίου.
Γράμματα μαθεῖν δεῖ, καὶ μαθόντα νοῦν ἔχειν.
Διπλοῦν ὁρῶσιν οἱ μαθόντες γράμματα.
Κάλλιστόν ἐστι κτῆμα παιδεία βροτοῖς.
Καλὸν δὲ καὶ γέροντι μανθάνειν σοφά.
Ὁ γράμματ' εἰδὼς καὶ περισσὸν νοῦν ἔχει.

Ὁ σοφὸς ἐν αὑτῷ περιφέρει τὴν οὐσίαν.
Ὁ μὴ δαρεὶς ἄνθρωπος οὐ παιδεύεται.
Ὁ γραμμάτων ἄπειρος οὐ βλέπει βλέπων.
Οὐκ ἔστι σοφίας κτῆμα τιμιώτερον.
Σοφοῖς ὁμιλῶν καὐτὸς ἐκβήσῃ σοφός.
Σοφία γάρ ἐστι καὶ μαθεῖν ὃ μὴ νοεῖς.
Σοφία δὲ πλούτου κτῆμα τιμιώτερον.
Σοφοῦ παρ' ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν.
Τιμὴ πέφυκε πᾶσι παιδεία βροτοῖς.
Ὡς οὐδὲν ἡ μάθησις, ἂν μὴ νοῦς παρῇ.

ΕΙΣ ΠΑΡΑΙΝΕΣΙΝ.

Ῥᾷον παραινεῖν, ἢ παθόντα καρτερεῖν.

ΕΙΣ ΠΑΤΡΙΔΑ.

Μακάριος ὅστις εὐτυχῶν οἴκοι μένει.
Τί γὰρ πατρῴας ἀνδρὶ φίλτερον χθονός;
Τῷ γὰρ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς.
Ὡς πανταχοῦ γε πατρὶς ἡ βόσκουσα γῆ.

ΕΙΣ ΠΕΝΙΑΝ.

Ἀεὶ νομίζονθ' οἱ πένητες τῶν θεῶν.
Αἰσχρὸν γενέσθαι πτωχὸν, ἀσθενῆ θ' ἅμα.
Ἔρημος ἔστ' ἄνθρωπος ἠπορημένος.
Λεπτῶς καλῶς ζῆν κρεῖσσον, ἢ λαμπρῶς κακῶς.
Μισῶ πένητα πλουσίῳ δωρούμενον.
Οὐδὲν πενίας βαρύτερόν ἐστι φορτίον.
Πενία δ' ἀννώμονάς γε τοὺς πολλοὺς ποιεῖ.

Πενίαν φέρειν οὐ παντὸς, ἀλλ' ἀνδρὸς σοφοῦ.
Πένητας ἀργοὺς οὐ τρέφει ῥᾳθυμία.
Πενία δ' ἄτιμον καὶ τὸν εὐγενῆ ποιεῖ.
Πενία διδάσκει δ' ἄνδρα τῇ χρείᾳ κακόν.
Πενίᾳ δὲ τοῖς ἔχουσιν οὐ σμικρὰ νόσος.
Πενίας γὰρ οὐδεὶς ἐστι μείζων πολέμιος.
Πενίαν φέρειν καὶ γῆρᾳς ἐστι δύσκολον.
Τῶν γὰρ πενήτων εἰσὶν οἱ λόγοι κενοί.
Χρεία δ' ἀνάγκης οὐκ ἀποστατεῖ πολύ.

ΕΙΣ ΠΙΣΤΙΝ.

Μὴ πάντα πειρῶ πᾶσι πιστεύειν ἀεί.

ΕΙΣ ΠΛΕΟΝΕΞΙΑΝ.

Ἰσότητα δ' αἵρου, καὶ πλεονεξίαν φύγε.

ΕΙΣ ΠΛΟΥΤΟΝ.

Βουλόμεθα πλουτεῖν πάντες, ἀλλ' οὐ δυνάμεθα.
Δύναται τὸ πλουτεῖν καὶ φιλανθρώπους ποιεῖν.
Δύναμις πέφυκε τοῖς βροτοῖς τὰ χρήματα.
Ἐὰν δ' ἔχωμεν χρήματ', ἕξομεν φίλους.
Ἥδιστόν ἐστι τῶν ὑπαρχόντων κρατεῖν.
Μὴ σπεῦδε πλουτεῖν, μὴ ταχὺς πένης γένῃ.
Οὐδεὶς ἐπλούτησεν ταχέως δίκαιος ὤν.
Πλοῦτος δὲ πολλῶν ἐπικάλυμμ' ἐστὶν κακῶν.
Πλούτῳ πεποιθὼς ἄδικα μὴ πειρῶ ποιεῖν.
Ῥᾴθυμος ὢν σὺ πλούσιος, πένης ἔσῃ.

Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους.
Χρυσὸς δ' ἀνοίγει πάντα, κ' Ἅϊδου πύλας.

ΕΙΣ ΠΟΛΥΠΡΑΓΜΟΣΤΝΗΝ.

Πολυπραγμονεῖν τἀλλότρια μὴ βούλου κακά.
Πολλοὶ σχολὴν ἄγουσιν εἰς τὰ χείρονα.
Τὸ πολλὰ πράττειν ἐστὶ πανταχοῦ σαπρόν.
Τὸ πολλὰ πράττειν κ' ὀδύνας πολλὰς ἔχει.

ΕΙΣ ΠΟΝΗΡΟΥΣ.

Ἀνὴρ πονηρὸς δυστυχεῖ, κἂν εὐτυχῇ.
Ἀνδρὸς πονηροῦ φεῦγε συνοδίαν ἀεί.
Ἀσυλλόγιστόν ἐστιν ἡ πονηρία.
Ἀνουθέτητόν ἐστιν ἡ πονηρία.
Ἀνδρὸς πονηροῦ σπλάγχνον οὐ μαλάσσεται.
Ἑαυτὸν οὐδεὶς ὁμολογεῖ κακοῦργος ὤν.
Ἤθη πονηρὰ τὴν φύσιν διαστρέφει.
Κακοῖς ὁμιλῶν καὐτὸς ἐκβήσῃ κακός.
Κακῷ σὺν ἀνδρὶ μηδ' ὅλως ὁδοιπόρει.
Κακοῦ γὰρ ἀνδρὸς θῶρ' ὄνησιν οὐκ ἔχει.
Τὸν δόλιον ἄνδρα φεῦγε παρ' ὅλον τὸν βίον.
Φασὶν κακίστους οἱ πονηροὶ τοὺς καλούς.
Φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί.
Ὡς ἔργον εὖ ζῆν ἐν πονηροῖς ἤθεσιν.
Ὡς πάντα τιμῆς ἐστὶ, πλὴν κακοῦ τρόπου.

ΕΙΣ ΠΡΟΣΟΧΗΝ.

Εἰ μὴ φυλάξεις μίκρ', ἀπολεῖς τὰ μείζονα.
Τῆς ἐπιμελείας πάντα δοῦλα γίγνεται.

ΕΙΣ ΣΙΩΠΗΝ.

Γλώσσῃ ματάίᾳ ζημία προστρίβεται.
Διὰ δὲ σιωπῆς πικρότερον κατηγορεῖ.
Εἰ μὴ καθέξεις γλῶσσαν, ἔστι σοι κακά.
Ἐνίοις τὸ σιγᾶν ἐστὶ κρεῖττον τοῦ λέγειν.
Εὐκαταφρόνητόν ἐστι σιγηλὸς τρόπος.
Ἢ λέγε τι σιγῆς κρεῖττον, ἢ σιγὴν ἔχε.
Ἡ γλῶσσα πολλοὺς εἰς ὄλεθρον ἤγαγεν.
Ἡ γλῶσσα πολλῶν ἐστιν αἰτία κακῶν.
Ἢ δεῖ σιωπᾶν, ἢ λέγειν ἀμείνονα.
Κρεῖττον σιωπᾶν, ἢ λαλεῖν ἃ μὴ πρέπει.
Οὐδὲν σιωπῆς ἐστι χρησιμώτερον.
Οὗ δεῖ, σιωπᾶν, καὶ λαλεῖν, ὅπου χρεών.
Πολλοῖς ἀπόκρισις ἡ σιωπὴ τυγχάνει.
Σιγή ποτ' ἐστὶν αἱρετωτέρα λόγου.

ΕΙΣ ΣΥΝΕΙΔΗΣΙΝ.

Βροτοῖς ἅπασιν ἡ συνείδησις θεός.

ΕΙΣ ΣΩΦΡΟΣΥΝΗΝ.

Εὔτακτον εἶναι τἄλλότρια δειπνοῦντα δεῖ.
Ταμιεῖον ἀρετῆς ἐστι σωφροσύνη μόνη.

ΕΙΣ ΤΕΧΝΗΝ.

Δειλὴν ἀτυχίας ἐστὶν ἀνθρώποις τέχνη.
Τύχῃ τέχνην εὕρηκας, οὐ τέχνῃ τύχην.

ΕΙΣ ΤΙΜΗΝ.

Ἀγαπῶν ἑαυτὸν οὔ τις ἀμελεῖθ' ἡδέως.
Τιμώμενοι γὰρ πάντες ἥδονται βροτοί.

ΕΙΣ ΤΟΛΜΑΝ.

Εὔτολμος εἶναι κρῖνε, τολμηρὸς δὲ μή.
Ἔστιν τὸ τολμᾶν, ὦ φίλ', ἀνδρὸς οὐ σοφοῦ.
Προπέτεια πολλοῖς ἐστιν αἰτία κακῶν.
Τὸ πολλὰ τολμᾶν πόλλ' ἁμαρτάνειν ποιεῖ.

ΕΙΣ ΤΥΧΗΝ.

Ἄνθρωπος ὢν μέμνησο τῆς κοινῆς τύχης.
Βέβαιον οὐδὲν ἐν βίῳ δοκεῖ πέλειν.
Δοὺς τῇ τύχῃ τὸ μικρὸν, ἐλπίψῃ μέγα.
Δυσπαρακολούθητον δὲ πρᾶγμ' ἔσθ' ἡ τύχη.
Οἷς μὲν δίδωσιν, οἷς δ' ἀφαιρεῖται τύχη.
Πολλοὺς κακῶς πράσσοντας ὤρθωσεν τύχη.
Ῥέγχει παρούσης τῆς τύχης τὰ πράγματα.
Στρέφει δὲ πάντα τἀν βίῳ μικρὰ τύχη.
Τύχης τὰ θνητῶν πράγματ', οὐκ εὐβουλίας.
Ταὐτόματον ἡμῶν καλλίω βουλεύεται.
Τὸ τῆς τύχης τοι μεταβολὰς πολλὰς ἔχει.
Ὡς ποικίλον πρᾶγμ' ἐστὶ καὶ πλάνον τύχη.

ΕΙΣ ΤΡΥΦΩΝΑ.

Δύσμοιρος ἴσθι μᾶλλον ἢ κακήγορος.
Οὐδὲν πέπονθας δεινόν, ἂν μὴ προσπαρῇ.

ΕΙΣ ΥΓΙΕΙΑΝ.

Οὐκ ἔστ' ὑγείας κρεῖττον οὐδὲν ἐν βίῳ.
Ὑγίεια καὶ νοῦς, ἐσθλὰ τῷ βίῳ δύο.

ΕΙΣ ΥΠΕΡΦΑΝΙΑΝ.

Ἀλαζονείας οὔ τις ἐκφεύγει δίκην.
Ὅτ' εὐτυχεῖς μάλιστα, μὴ μέγα φρόνει.
Ὁ Ζεὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων.

ΕΙΣ ΤΥΠΟΝ.

Τῦφος δὲ θανάτου τις προμελέτησις πέλει.
Τῦφος δὲ πᾶσίν ἐστιν ὑγίεια βίου.
Τῦφος τὰ μικρὰ τοῦ θανάτου μυστήρια.
Τῦφος πέφυκε σώματος σωτηρία.
Τῦφος δὲ πεῖναν τὴν κακέσχατον δαμᾷ.

ΕΙΣ ΥΠΟΜΟΝΗΝ.

Ἀνδρός, τὰ προσπίπτοντα γενναίως φέρειν.
Ἔνεγκε λύπην καὶ βλάβην ἐρρωμένως.
Κούφως φέρειν δεῖ τὰς παρεστώσας τύχας.
Νίκα λογισμῷ τὴν παροῦσαν συμφοράν.
Πειρῶ τύχης ἄνοιαν εὐτρεῶς φέρειν.
Στερρῶς φέρειν δεῖ συμφορὰν τὸν εὐγενῆ.

Τὴν τῶν κρατούντων μάθε φέρειν ἐξουσίαν.
Φρονοῦντός ἐστι ζημίαν πρᾴως φέρειν.
Φέρειν ἀνάγκη θνητὸν ὄντα τὴν τύχην.

ΕΙΣ ΦΘΟΝΟΝ.

Αὐτὸς πεναθεὶς τοῖς ἔχουσι μὴ φθόνει.
Οὐδεὶς δὲ πρὸς τοὺς ἐκποδὼν ἔφυ φθόνος.

ΕΙΣ ΦΙΛΟΥΣ.

Ἄδικον τὸ λυπεῖν τοὺς φίλους ἑκουσίως.
Ἅπασιν εὖ πράττουσιν ἥδομαι φίλοις.
Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι.
Βέβαιος ἴσθι, καὶ βεβαίως χρῶ φίλοις.
Δεῖ τοὺς φιλοῦντας πίστιν, οὐ λόγους, ἔχειν.
Ἐν τοῖσι δεινοῖς χρημάτων κρείττων φίλος.
Εὔχου δ' ἔχειν τι, κἂν ἔχῃς, ἕξεις φίλους.
Ἐν τοῖς κακοῖσι τοὺς φίλους εὐεργέτει.
Ἴσον θεῷ σοῦ τοὺς φίλους τιμᾶν θέλε.
Ἰδίας νόμιζε τῶν φίλων τὰς συμφοράς.
Κρίνει φίλους ὁ καιρὸς, ὡς χρυσὸν τὸ πῦρ.
Καλὸν τὸ μηδὲν εἰς φίλους ἁμαρτάνειν.
Καλὸν θέαμα δ' ἐστὶν εὖ πράττων φίλος.
Κακὸν φέρουσι καρπὸν οἱ κακοὶ φίλοι.
Λίαν φιλῶν σεαυτὸν οὐχ ἕξεις φίλον.
Μισοῦντα μίσει, καὶ φιλοῦνθ' ὑπερφίλει.
Μὴ φεῦγ' ἑταῖρον ἐν κακοῖσι κείμενον.
Μακάριος ὅστις ἔτυχε γενναίου φίλου.
Μηδέποτε πειρῶ δύο φίλων εἶναι κριτής.

Νόμιζ' ἀδελφοὺς τοὺς ἀληθινοὺς φίλους.
Ὀργὴν ἑταίρου καὶ φίλου πειρῶ φέρειν.
Ὀργῆς χάριν τὰ κρυπτὰ μὴ 'κφάνῃς φίλου.
Οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον φίλου.
Πειρῶ φίλοισι μὴ κακοῖς εἶναι φίλος.
Πένητας οὐδεὶς βούλεται κτᾶσθαι φίλους.
Πολλοὶ τραπέζης, οὐκ ἀληθείας φίλοι.
Πονηρὸν ἄνδρα μηδέποτε ποιοῦ φίλον.
Φίλον δι' ὀργὴν ἐν κακοῖς μὴ περιΐδῃς.
Φίλος φίλῳ γὰρ συμπονῶν αὑτῷ πονεῖ.
Φίλου τρόπους γίγνωσκε, μισήσῃς δὲ μή.
Φίλος με βλάπτων οὐδὲν ἐχθροῦ διαφέρει.
Φίλους ἔχων, νόμιζε θησαυροὺς ἔχειν.
Φιλίας δικαίας κτῆσις ἀσφαλεστάτη.
Φίλον βέβαιον ἐν κακοῖσι μὴ φοβοῦ.

ΕΙΣ ΦΙΛΑΥΤΙΑΝ.

Οὐκ ἔστιν οὐδείς, ὅστις οὐχ αὑτὸν φιλεῖ.
Φιλεῖ δ' ἑαυτοῦ πλεῖον οὐδεὶς οὐδένα.

ΕΙΣ ΦΙΛΟΠΟΝΙΑΝ.

Ἅπαντα τἀγαθὰ τοῦ πονοῦντος γίγνεται.
Ἅπανθ' ὁ τοῦ ζητοῦντος εὑρίσκει πόθος.
Ἐκ τοῦ φιλοπονεῖν γίγνεθ' ὧν θέλεις κρατεῖν.
Ἔργοις φιλόπονος ἴσθι, μὴ λόγοις μόνον.
Ἰδίας ὁδοὺς ζητοῦσι φιλόπονοι φύσεις.
Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.

Μόχθου γὰρ οὐδεὶς τοῦ παρελθόντος λόγος.
Πόνου μεταλλαχθέντος οἱ πόνοι γλυκεῖς.
Πόνος γὰρ, ὥς λέγουσιν, εὐκλείας πατήρ.
Σὺν μυρίοισι τὰ καλὰ γίγνεται πόνοις.
Τῆς ἐπιμελείας δοῦλα πάντα γίγνεται.
Τὸ συνεχὲς ἔργον παντὸς εὑρίσκει τέλος.
Τῷ γὰρ πονοῦντι καὶ θεὸς συλλαμβάνει.
Φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεός.
Φιλόπονος ἴσθι, καὶ βίον κτήσῃ καλόν.
Ὡς ἡδὺ τοῖς σωθεῖσι μεμνῆσθαι πόνων.
Ὡς πολλὰ θνητοῖς ἡ σχολὴ ποιεῖ κακά.

ΕΙΣ ΦΡΟΝΗΣΙΝ.

Ἀγαθὸν μέγιστον ἡ φρόνησις ἐστ' ἀεί.
Ἂν εὖ φρονῇς, τὰ πάντα γ' εὐδαίμων ἔσῃ.
Ἀεὶ κράτιστόν ἐστι τἀσφαλέστατον.
Ἐμπειρία γὰρ τῆς ἀπειρίας κρατεῖ.
Ἥδιστόν ἐστιν εὐτυχοῦντα νοῦν ἔχειν.
Κοινὸν τύχη· γνώμη δὲ, τῶν κεκτημένων.
Μισῶ σοφιστὴν, ὅστις οὐχ αὑτῷ σοφός.
Ὁ παρ' ἡλικίαν νοῦς μῖσος ἐξεργάζεται.
Οὐδεὶς ὃ νοεῖς μὲν οἶδεν, ὃ δὲ ποιεῖς βλέπει.
Πᾶσιν γὰρ εὖ φρονοῦσι συμμαχεῖ Τύχη.
Σοφὸς γὰρ οὐδείς, ὃς τὰ πάντα προσκοπεῖ·
Συνετὸς πεφυκὼς φεῦγε τὴν κακουργίαν.
Τὸ ΜΗΔΕΝ ΕΙΚΗ πανταχοῦ ἐστι χρήσιμον.
Ψυχῆς μέγας χαλινὸς ἀνθρώποις ὁ νοῦς.

ΕΙΣ ΦΥΣΙΝ.

Ἡ δοῦσα πάντα καὶ κομίζεται φύσις.
Ἡ φύσις ἑκάστῳ τοῦ γένους ἐστὶν πατρίς.
Ἡ φύσις ἁπάντων τῶν διδαγμάτων κρατεῖ.
Φύσιν πονηρὰν μεταβαλεῖν οὐ ῥᾴδιον.

ΕΙΣ ΧΡΟΝΟΝ.

Ἄγει δὲ πρὸς φῶς τὴν ἀλήθειαν χρόνος.
Ἦθους δὲ βάσανός ἐστιν ἀνθρώποις χρόνος.
Λύπης δὲ πάσης γίγνετ' ἰατρὸς χρόνος.
Μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει.
Ὁ κοινὸς ἰατρός σε θεραπεύσει χρόνος.
Ὁ χρόνος ἁπάσης ἐστὶν ὀργῆς φάρμακον.
Πάντ' ἐκκαλύπτων ὁ χρόνος εἰς τὸ φῶς ἄγει.
Πάλιν χρόνῳ τἀρχαῖα καινὰ γίγνεται.
Σύμβουλος οὐδεὶς ἐστι βελτίων χρόνου.
Σοφὸν λέγουσι τὸν χρόνον πεφυκέναι.
Χρόνος δίκαιον ἄνδρα μηνύει ποτέ.
Χρόνῳ τὰ πάντα γίγνεται καὶ κρίνεται.
Χρόνος μαλάσσει πάντα κἀξεργάζεται.
Χρόνος ἀναιρεῖ πάντα, καὶ λήθην ἄγει.

ΕΙΣ ΧΡΕΟΣ.

Λαβὼν ἀπόδος, ἄνθρωπε, καὶ λήψῃ πάλιν.
Τὰ δάνεια δούλους τοὺς ἐλευθέρους ποιεῖ.

ΕΙΣ ΨΕΥΔΟΣ.

Ἀλλ' οὐδὲν ἕρπει ψεῦδος εἰς γῆρας χρόνου.

Ψεῦδος δὲ μισεῖ πᾶς σοφὸς καὶ χρήσιμος.
Ψευδὴς διαβολὴ τὸν βίον λυμαίνεται.
Ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον.
Ψευδῆ δὲ τοῖς ἐσθλοῖσιν οὐ πρέπει λέγειν.

ΕΙΣ ΨΟΓΟΝ.

Ἤθους δικαίου φαῦλος οὐ ψαύει λόγος.
Νικᾷ γὰρ αἰεὶ διαβολὴ τὰ κρείττονα.
Τὸν αὐτὸν αἰνεῖν καὶ ψέγειν, ἀνδρὸς κακοῦ.

Authors found in this vol.

	pag.
Alexidas	146
Amphilus	146
Anaxandrides	146
Antiphanes	147
Apollodorus	149
Callimachus	110
Callinus	60
Cleanthes	114
Clearchus	166
Crates	161
Diodorus	160
Diphilus	150
Eratosthenes	111
Eriphus	164
Eubulus	161
Evenus	109
Hesiodus	116
Hipponichus	161
Homer	105
Menander	151
Menecrates	111
Metrodorus	112
Mimnermus	66
Naumachius	102
Nicostratus	162
Nymphis	106
Nysecrates	162
Philemon	157
Philippides	163
Philippus	163
Phocylides	81.93
Posidippus	112.164
Pythagoras	90
Rhianus	107
Simonides	83
Solon	69
Sotades	164
Theognis	1
Timocles	165
Tyrtaeus	61